Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: psw-aa

Αἴλιος Διονύσιος ὁ Ἁλικαρνασσεύς · Aelius Dionysius of Halicarnassus

# Attic Names

## Ἀττικὰ ὀνόματα

**Period:** Ῥωμαϊκή Roman
**Dialect:** Ἀττικίζουσα τεχνική Atticizing Technical
**Domain:** Γραμματική Grammar
**Format:** Πραγματεία Treatise
**Affiliation:** Sophist

T 1 Αἰλίου Διονυσίου Ἁλικαρνασσέως Ἀττικῶν ὀνομάτων λόγοι πέντε .

P 1 .. Σκύμνῳ δὲ τὸ σύνταγμα προσφωνεῖ. .

P 2 .. Ἁλικαρνασσός, ἐξ ἧς ὥρμητο Αἴλιος Διονύσιος Ἁλικαρνασσεύς, καθὰ δηλοῖ αὐτός, ἐν οἷς περὶ Ἀττικῶν ὀνομάτων διαλεγόμενος λέγει οὐ Κᾶρας εἶναι τοὺς Ἁλικαρνασσεῖς, ἀλλὰ Ἕλληνας, Δωριεῖς τῶν ἀποικησάντων Δωριέων Καρίαν, ὃ καὶ Ἀθηναῖοι ποιήσαντες καὶ εἰς Καρίαν κατάραντες—ἦρχε δὲ αὐτῶν Νειλεύς—πόλιν Ἑλληνίδα φησὶν ἐν αὐτῇ Μίλητον κατεσκευάσαντο· ἐφ’ οἷς τοὺς τοιούτους Δωριεῖς σεμνύνας καὶ μίαν τῆς ἐν Ἀσίᾳ ἑξαπόλεως καὶ τὴν Ἁλικαρνασσὸν εἰπὼν εἶναι ἐπάγει πρὸς τῷ τέλει, ὅτι οὐδὲν ἂν ἴσως κωλύοι καὶ ἐν Καρίᾳ εἶναί τινα Ἀττικὴν φωνὴν καὶ ἐν ταῖς Ἀθήναις Καρικήν, φωνὴν Ἀττικὴν σεμνῶς εἰπὼν τὴν ἑαυτοῦ. ἆ· ψιλούμενον καὶ περισπώμενον ἀντὶ τοῦ αἴθε λαμβάνεται.

alpha 1 〈Καλλίμαχος (fr. 1, 33 Pf.) ‘ἆ πάντως ἵνα γῆρας‘〉 . ἂ ἄ· ἐπὶ τοῦ μεγάλου.

alpha 2 ἔστι δὲ καὶ σχετλιαστικὸν ἐπιφώνημα. δασυνθὲν δὲ γέλωτα δηλοῖ. ἀβακήμων · ἀσύνετος, ἄλαλος.

alpha 4 ἀβέλτερος · οὐ μὰ Δί’ οὐχ ὁ πλεονέκτης καὶ ἀγνώμων, ἀλλ’ ὁ ἀνόητος καὶ εὐήθης μετὰ χαυνότητος. Μένανδρος Περινθίᾳ (fr. 1, I p. 131 Kö.)· ‘ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα καὶ κοῦφον ἐξαπατᾷ θεράπων, οὐκ οἶδ’ ὅ τι οὗτος μεγαλεῖόν ἐστι διαπεπραγμένος ἐπαβελτερώσας τὸν πάλαι 〈γ’〉 ἀβέλτερον.‘ λέγουσι δὲ καὶ ἀβελτέρειον τὴν ἀβελτηρίαν. Ἀναξανδρίδης Ἑλένῃ (III 167 M. = fr. 12 K.)· ‘—ἄγκυρα, λέμβος, σκεῦος ὅ τι βούλει λέγε. —ὦ Ἡράκλεις ἀβελτερείου τεμενικοῦ. —ἀλλ’ οὐδ’ ἂν εἰπεῖν τὸ μέγεθος δύναιτό τισ‘. ἄβολος · νέος οὐδέπω γνώμονα ἔχων.

alpha 5 γνώμονα δὲ ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι’ οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ τέλειον καὶ κατηρτυκότα ἔλεγον ἐκ μεταφορᾶς τῶν τετραπόδων. καὶ λ[ε]ιπογνώμονας τοὺς ἀπογεγηρακότας, οἷς ἐλελοίπει τὸ γνῶμα. ἄβρα · οὔτε ἁπλῶς ἡ θεράπαινα ἄβρα λέγεται οὔτε ἡ εὔμορφος, ἀλλ’ ἡ οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος εἴτε οἰκογενὴς εἴτε μή.

alpha 6 Μένανδρος Ψευδηρακλεῖ (fr. 453 Kö.)· ‘μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυεῖν ταύταιν· τρέφει δὲ παλλακή τις τοῦ πατρός αὐτὰς ἄβρα τῆς μητρὸς αὐτῶν γενομένη‘. καὶ Σικυωνίῳ (fr. 371 Kö.)· ‘ἄβραν γὰρ ἀντωνούμενος ἐρωμένην ταύτῃ μὲν οὐ παρέδωκ’ ἔχειν, ἔτρεφε δὲ χωρίς, ὡς

ἐλευθέρᾳ πρέπει‘. 〈καὶ〉 Ἀπίστῳ (fr. 58 Kö.)· ‘ᾤμην, εἰ τὸ χρυσίον λάβοι ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγορασμένην ἅβραν ἔσεσθαι‘. ἀβρόταξις · ἁμαρτία [διαμφόδησις], καὶ ἀβροτάξομεν (K 65)· διαμφοδήσομεν, ἁμαρτήσομεν ἀλλήλων.

alpha 8 ἀβυρτάκη · ὑπότριμμά τι βαρβαρικόν, κατασκευαζόμενον διὰ πράσων καὶ καρδάμων καὶ ῥόας κόκκων καὶ ἑτέρων τοιούτων. Θεόπομπος Θησεῖ (II 798 M. = fr. 17 K.)· ‘ἥξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων πλείστη ποεῖται καὶ πράσων ἀβυρτάκη‘. ἔστι καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου τοὔνομα (fr. 247 Kö.). ἀγαθίς · δέσμη, ῥάμμα, στήμονες.

alpha 10 〈ἀγαθός · ἡ σύγκρισις ‘μᾶλλον ἀγαθόσ‘ καὶ ἡ ὑπέρθεσις ‘μάλιστα ἀγαθόσ‘〉. ἀγαθώτερος 〈δὲ〉 καὶ ἀγαθώτατος παρ’ οὐδενὶ τῶν Ἑλλήνων κεῖται. ἀγαθοῦ δαίμονος · οὕτω καλεῖται παρὰ τοῖς παλαιοῖς τὸ μετὰ τὴν ἄρσιν τῶν τραπεζῶν προσφερόμενον ποτήριον.

alpha 12 ἀγαθῶν ἀγαθίδες · τάττεται ἡ παροιμία παρὰ τοῖς κωμικοῖς (IV 662 M. = fr. ad. 827 K.) ἐπὶ πολλῶν ἀγαθῶν. ἀγάλλεσθαι · χαίρειν, μεγαλοφρονεῖν, καλλωπίζεσθαι.

alpha 13 Πλάτων δὲ ἐν Νόμοις (XII 956b) τὰς γραφὰς ἀγάλματα καλεῖ. Θουκυδίδης δέ φησιν (IV 95, 3)· ‘ἕκαστος [δὲ] πατρίδα ἔχων 〈πρώτην〉 ἐν τοῖς Ἕλλησιν ἀγάλλεται‘ ἀντὶ τοῦ αὐχεῖ, καὶ ἄλλοι πολλοί. ἀγάλματα Ἑκάτης · αἱ κύνες· θύονται γὰρ αὐτῇ.

alpha 15 ἀγανόν · καλόν, ἡδύ. Ἀριστοφάνης Λυσιστράτῃ (885 s.)· ‘ἐμοὶ γὰρ αὕτη καὶ νεωτέρα δοκεῖ πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν‘. Κρατῖνος Χείρωσι (II 145 M. = fr. 238 K.)· ‘〈ὡσ〉 μακάριος ἦν ὁ πρὸ τοῦ βίοτος βροτοῖσι πρὸς τὰ νῦν, ὃν εἶχον ἄνδρες ἀγανόφρονες ἡδυλόγῳ σοφίᾳ βροτῶν περισσοκαλλεῖσ‘. Σοφοκλῆς δὲ Ἐπὶ Ταινάρῳ (fr. 231 P., deest N. 2 ) ‘ἄγανον‘ ἔφη ‘ξύλον‘ βαρυτόνως τὸ κατεαγὸς ἢ τὸ ἀπελέκητον. ἄγγαροι · οἱ ἐκ διαδοχῆς γραμματοφόροι, οἱ δ’ αὐτοὶ καὶ ἀστάνδαι.

alpha 16 ἡ δὲ λέξις Περσική ** Αἰσχύλος Ἀγαμέμνονι (282 s.)· ‘φρυκτὸς δὲ φρυκτὸν δεῦρ’ ἀπ’ ἀγγάρου πυρός ἔπεμπεν‘ (—285 Ph., 284 πανόν). τίθεται τὸ ὄνομα καὶ ἐπὶ τῶν φορτηγῶν καὶ ὅλως τῶν ἀναισθήτων καὶ ἀνδραποδωδῶν. καὶ τὸ ἀγγαροφορεῖν τὸ φορτία φέρειν ἄλλως τε καὶ ἐκ διαδοχῆς. Μένανδρος Πωλουμένοις (fr. 353 Kö)· ‘ἀγγαροφόρει καὶ ταῦθ’ ἃ νῦν πο[ι]εῖς, πο[ι]εῖ, ἐξὸν διαρρηγνύμενον ἀγαθῶν μυρίων σιτιζόμενον τὴν νύκτα καὶ τὴν ἡμέραν διάγειν‘. καὶ ἐν Προγαμοῦντι (fr. 349 Kö.)· ‘βάρβαρος ἄγγαρος ὄντως κοὐδενὸς προορώμενοσ‘. καὶ ἐν Θαΐδι (fr. 186 Kö.) ὁ ἀκρατής· ‘ἄγγαρος ὄλεθρος. ἡδέως ἄν μοι δοκῶ ὅμως πεπονθὼς ταῦτα νῦν ταύτην ἔχει〈ν〉. καὶ ἀγγαρεύεσθαι καλοῦσιν ὥσπερ ἡμεῖς νῦν τὸ εἰς φορτηγίαν καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι. Μένανδρος καὶ τοῦτο ἐν τῷ Σικυωνίῳ παρίστησι (fr. 373 Kö.)· ‘ὁ πλέων κατήχθη· κρίνεθ’ οὗτος πολέμιος· ἐὰν δ’ ἔχῃ τι μαλακόν, ἀγγαρεύεται‘. ἀγελαῖος · ὁ ἐν ἀγέλῃ διάγων.

alpha 18 ἄγημα · τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἱππέων καὶ πεζῶν. οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως. ἀγήρατον ἀρρενικῶς εἶπε Σοφοκλῆς (fr.

alpha 19 972 P., deest N. 2 ), θηλυκῶς δὲ Ξενοφῶν (Cyr. VIII 7, 22). καὶ ἀγήρων Πλάτων μὲν (Politic. 273e) ἀρσενικῶς, Εὐριπίδης δὲ (Suppl. 1178) θηλυκῶς. καὶ οὐδετέρως Θουκυδίδης (II 44, 4) καὶ Πλάτων Τιμαίῳ (33a). ἄγμα · σύντριμμα καὶ τὸ κατειργασμένον ἔριον.

alpha 21 ἀγνοία καὶ ἀναιδεία καὶ πάντα τὰ τοιαῦτα ἐκτείνοντες προφέρονται τὴν τελευταίαν οἱ παλαιοὶ Ἀττικοὶ καὶ παροξύνοντες. ** Ἀριστοφάνης Δαιταλεῦσιν (II 1031 M. = fr. 226 K.)· ‘ὦ παρανοία κἀναιδεία‘. μεταβάλλουσι δ’ οἱ Ἴωνες τὸ τελευταῖον α 〈εἰς η 〉· ‘σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδοσ‘ (Π 498)· καὶ Ἀνακρέων (fr. 29a D. 2 )· ‘νεότης τε καὶ ὑγιείη‘. καὶ ἀναρροίη δὲ καὶ εὐπλοίη καὶ τὰ ὅμοια ἅπαντα παρὰ τοῖς Ἴωσιν ἐκ μακροῦ τοῦ α μετείληπται εἰς τὸ η . ἄγνον οὐχὶ λύγον καλοῦσιν 〈οἱ〉 Ἀττικοί.

alpha 22

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἀρσενικῶς Χιωνίδης Ἥρωσι (II 6 M. = fr. 2 K.)· καὶ μὴν μὰ τὸν Δί’ οὐθὲν ἔτι γέ μοι δοκῶ ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότοσ‘. Πλάτων (Phaedr. 230b)· ‘ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλὴ καὶ τοῦ ἄγνου τό τε ὕψος καὶ τὸ σύσκιον πάγκαλον‘. ἀγοράζειν · τὸ ἐν ἀγορᾷ διατρίβειν.

alpha 24 Ἄγραι · χωρίον ἔξω τῆς πόλεως ἱερὸν Δήμητρος, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἄγεται. ὀνομασθῆναι δὲ αὐτὸ οἱ μὲν (cf. Clidem. fr. 1) ἀπὸ τῆς Ἀρτέμιδος, πρότερον Ἑλικῶνα καλούμενον, οἱ δὲ ἀπὸ τοῦ ἔνθηρον εἶναι καὶ πλῆρες ἀγρεύματος. ἄγριος ἔλαιος · ἣν οἱ πολλοὶ ἀγριέλαιον καλοῦσιν.

alpha 25 ἔστι παρὰ Πινδάρῳ ἐν ὕμνοις (fr. 46 S.). ἀγοράσματα · αὐτὰ τὰ ἠγορασμένα.

alpha 27 ἀγοράσω λέγουσι, τὸ δὲ ἀγορῶ βάρβαρον. παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δὲ ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος (II 944 M. = fr. 2 K.)· ‘ἀλλ’ ἄνυσον· οὐ μέλλειν ἐχρῆν, ὡς ἀγοράσω ἁπαξάπανθ’, ὅς’ ἂν κελεύῃς, ὦ γύναι‘. ἀγυιάτιδες θεράπαιναι · παρ’ Εὐριπίδῃ (Ion.

alpha 28 186) οἱ πρὸ τῶν θυρῶν βωμοί, οἳ πρὸς χάριν Ἀγυιέως Ἀπόλλωνος ἵδρυντο τιμωμένου πρὸ πυλῶν ὡς ἀλεξικάκου. ἀγυρμός · συναγωγή.

alpha 29 Πλάτων ἐν Πολιτικῷ (272c) ‘συναγυρμὸν φρονήσεωσ‘. ἀγύρτης · ὁ ἀγείρων ὄχλον καὶ ὁ ἀλαζὼν καὶ ἀπατεών.

alpha 30 τὸ δὲ ἀγείρειν καὶ περιαγείρειν τὸ περιϊέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἢ ἑτέρῳ τινὶ τοιούτῳ σεμνυνόμενον· καὶ ὄνομα βόλου κυβευτικοῦ. ἀγχιστεία · συγγένεια, καὶ ἀγχιστεῖς οἱ ἀπὸ ἀδελφῶν καὶ ἀνεψιῶν καὶ θείων κατὰ πατέρα καὶ μητέρα ἐγγυτάτω τοῦ τελευτήσαντος.

alpha 31* οἱ δὲ ἔξω τούτων συγγενεῖς μόνον. οἱ δὲ κατ’ ἐπιγαμίαν μ 〈ε〉 ιχθέντες τοῖς οἴκοις οἰκεῖοι λέγονται. ἀγῶνα · καὶ Ὅμηρος (Ψ 273) τὸν τόπον αὐτόν, ἐν ᾧ ἀγωνίζονται, 〈καὶ〉 Θουκυδίδης πέμπτῃ (50, 4)· ‘προελθὼν ἐς τὸν ἀγῶνα ἀνέδησε τὸν ἡνίοχον.

alpha 32 ‘ ἀδαῖον · τὸ εἰς κόρον ἄγον 〈ἢ τὸ ἀηδές· οὕτω〉 Σώφρων (fr.

alpha 33 137 Kaib.). ἄδδιξ · μέτρον τετραχοίνικον.

alpha 34 Ἀριστοφάνης (II 1203 M. = fr. 709 K.)· ‘ἀλφίτων μελάνων ἄδδιχα‘. ἄδην · ἅλις [εἰς κόρον, ἱκανῶς, δαψιλῶς, ἀρκούντως].

alpha 35 Πλάτων πολλαχοῦ κέχρηται 〈οἷον〉 ἐν Χαρμίδῃ (153d)· ‘ἐπεὶ δὲ τῶν τοιούτων ἄδην εἴχομεν.‘ ἀδηφάγοι ἵπποι · οἱ τέλειοι πρὸς τὴν τῶν πώλων διάκρισιν.

alpha 36* [ὡς] Ἀριστοφάνης (II 1204 M. = fr. 736 K.) καὶ Φερεκράτης (II 351 M. = fr. 197 K.). ἔφη δὲ καὶ ‘ἀδηφαγοῦσα‘ Σοφοκλῆς (fr. 889 N. 2 = 976 P.) καὶ ‘ἀδηφαγεῖν‘ Ἕρμιππος (II 417 M. = fr. 84 K.). ἀλλὰ καὶ ‘ἀδηφάγον‘ εἶπε Λυσίας (fr. 103, p. 343 Th.) τὴν τέλειον μισθὸν λαμβάνουσαν τριήρη. Ἀλκαῖος δὲ ὁ κωμικὸς (II 830 M. = fr. 21 K.) καὶ τοὺς πότας λεγομένους λύχνους ‘ἀδηφάγουσ‘ ἔφη χαριεντισάμενος. καὶ δρομεῖς δέ τινες ἐν Νεμέᾳ ‘ἀδηφάγοι‘ ἐλέγοντο καὶ οἱ γυμναστικοὶ παρὰ Ἀργείοις οὕτως. λέγουσι δέ τινες καὶ τὸν ἱερὸν λόχον ἀδηφάγον. ἀδηφάγον ἅρμα · τὸ τέλειον καὶ μέγα.

alpha 38 ἀδράφαξυς · εἶδος λαχάνου, ὅπερ οἱ πολλοὶ ἀτράφαξυν καλοῦσι. Φερεκράτης Κοριαννοῖ (II 285 M. = fr. 75 K.)· ‘ἀδράφαξυν ἕψους’, εἶτ’ ὀκλὰξ καθημένη‘. ἀδύνατα εἶναι (Thuc.

alpha 39 I 59, 2)· ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δὲ ἐπὶ ταύτης τῆς λέξεως. ἄειλα · τὰ πολύσκια χωρία κατὰ στέρησιν τῆς ἕλης.

alpha 40* οὕτως Αἰσχύλος (fr. 334 N. 2 ). ἀέλιοι · οἱ ἀδελφὰς γυναῖκας ἔχοντες, 〈οἱ〉 συγγάμβριοι.

alpha 42 ἀήσυρον · κοῦφον. Αἰσχύλος (Prom. 452s.)· ‘ἀήσυροι μύρμηκεσ‘. 〈 Ἀθηναία · ἡ θεός.

alpha 43 〉 Ἀθηναίας ὁ Μεγακλείδης οὔ φησι καλεῖσθαι τὰς γυναῖκας, ἀλλ’ Ἀττικὰς ἐν τοῖς Περὶ Ὁμήρου (FHG. IV 443) ἅμα καὶ τὴν αἰτίαν ἀποδιδούς· μόνους γάρ φησι τοὺς ἐκεῖθεν ἄνδρας μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηναίους ὀνομάζουσι, γυναῖκας δὲ Ἀττικάς, ἵνα μὴ τὴν ἄγαμον 〈θεὸν〉 αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν. ὅτε δὲ ἤρξαντο αἱ ἀσταὶ ἢ[τοι] Ἀττικαὶ γυναῖκες Ἀθηναῖαι λέγεσθαι, ὡς 〈μαρτυρεῖ〉 Φερεκράτης ἐν Γραυσίν (II 267 M. = fr. 34 K.)· ‘Ἀθηνα(ί)αις αὐταῖς τε καὶ ταῖς συμμάχοισ‘, καὶ Κάνθαρος Τηρεῖ (II 836 M. = fr. 5 K.)· ‘γυναῖκ’ Ἀθηναίαν καλήν τε κἀγαθήν‘, καὶ Φιλήμων Πτέρυγι (IV 20 M. = fr. 66 K.)· ‘ 〈νυνὶ δ’ ὅταν λάβῃ τις εἰς τὴν οἰκίαν〉 τὰς Ἱππονίκας τάσδε καὶ Λυσιστράτας καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω ...‘, τότε δὴ καὶ ἡ θεὸς οὐκέτι Ἀθηναία ἐκαλεῖτο, ἀλλὰ κατὰ συναίρεσιν Ἀθηνᾶ. ἀθήρ · ἀκμὴ τοῦ ἠκονημένου σιδήρου κατὰ μεταφορὰν ἀπὸ τοῦ ἀθέρος, ὅς ἐστι τοῦ ἀστάχυος 〈τὸ ἄκρον καὶ λεπτότατον〉.

alpha 44 λέγεται δὲ καὶ ἡ ἐπιδορατὶς ἀθήρ. ἀθρεῖν · τὸ περισκοπεῖν καὶ μετ’ ἐπιτάσεως ὁρᾶν.

alpha 45 παραδειγμάτων δὲ πάντα μεστά. ἅθρους · Ἀττικῶς δασύνεται οἷον ** (fr.

alpha 46 com. ad.)· ‘ἅθρους ἐπελθὼν ὁ στρατηγός 〈– –〉 ‘ ἤγουν σὺν ὅλῳ τῷ στρατεύματι. καὶ Ἀριστοφάνης (II 1194 M. = fr. 633 K.)· ‘ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἅθρουσ‘. ὁ δὲ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν 〈αὐτὸ οὐκ〉 ἀτόπως, ἐπεὶ ἡ διαίρεσις ἐστιν ἀθρόος. ἡ δὲ χρῆσις [παροξύνει. ἄθυρμα · δασέως Ἀττικοί, ψιλῶς Ἴωνες.

alpha 48 αἰγίς · τὸ ἐκ τῶν στεμμάτων δίκτυον. αἰγυπτιάζειν· τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι.

alpha 49 οὕτω Κρατῖνος (II 186 M. = fr. 378 K.). αἰγυπτιῶσαι · 〈μελᾶναι〉.

alpha 50 ἐπικαῦσαι. ** (IV 628 M. = fr. ad. 9 K.; cf. fr. ad. 161 N 2 )· ‘χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων φλογί αἰγυπτιώσει‘. αἱμασιά · τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον, ἥν τινες ἄρπε〈ζαν ὠνόμα〉ζον (cf.

alpha 51 Nic. Ther. 393; 647), ὡς καὶ Ἴωνες. δηλοῖ δὲ Ἡρόδοτος ἐν τῇ πρώτῃ (180, 2). φαύλως δὲ οἱ πολλοὶ τὸ χωρίον αὐτὸ τὸ ὑπὸ αἱμασιῶν περιεχόμενον αἱμασιὰν καλοῦσιν. αἱμασιαῖς · τοῖς φραγμοῖς κυρίως τοῖς ἠκανθωμένοις.

alpha 53 αἱματοπώτης · οἱ Ἀττικοὶ μηκύνοντες τὸ ο προφέρουσι τὴν λέξιν, ὥσπερ καὶ τὸ οἰνοπώτης καὶ ὑδροπώτης, ἐπεὶ καὶ τὸ πόμα οἱ μὲν ἄλλοι διὰ βραχέος τοῦ ο γράφουσιν, Ἀττικοὶ δὲ ἐπεκτείνοντες. αἱμούς · τοὺς δρυμούς.

alpha 54 Αἰσχύλος 〈Αἰτναίαισ〉 (fr. 9 N. 2 )· ἴσως ἀπὸ τοῦ αὐτοῦ, ἀφ’ οὗ καὶ ἡ αἱμασιὰ κέκληται. αἴνειν · τὸ ἀναδεύειν καὶ ἀνακινεῖν τὰς κριθὰς ὕδατι φύροντα.

alpha 55 Φερεκράτης (II 345 M. = fr. 183 K.)· ‘νῦν 〈δ’〉 ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίττειν, φρύγειν ἀναβράττειν, αἴνειν ...‘ διαφέρει δὲ τὸ πτίσσειν τοῦ αἴνειν. τὸ μὲν γὰρ πτίσσειν γίνεται, ἵνα τὸ πτισσόμενον ἀπολίποι τὸ πιτυρῶδες ἄχυρον, τὸ δὲ αἴνειν ἐπὶ ξυρῶν ὥσπερ καρύων, ἵνα τὸ ἀχυρῶδες αὐτῶν περικαὲν ἀφαιρεθείη. αἴσχιον · ἀντὶ τοῦ αἰσχρόν· Θουκυδίδης (II 40, 1).

alpha 57 ἀΐτης (cf. Theocr. XII)· ὁ ἐρώμενος, ὁ εἰσπνέων τὸν ἔρωτα τῷ ἐραστῇ. εἰσπνεῖται γὰρ τῆς μορφῆς τι καὶ τῆς ὥρας 〈τῆσ〉 τοῦ ἐρωμένου. ὅθεν καὶ εἰσπνῆλαι παρὰ Λάκωσιν οἱ ἐρασταί. αἴτιον γενέσθαι · ἀντὶ τοῦ ἐν αἰτίᾳ.

alpha 58 Θουκυδίδης (VIII 56, 4). αἰώρα · 〈ἀγχόνη〉 · καὶ ἑώρα διὰ τοῦ ε [ὅθεν καὶ μετέωρος].

alpha 59 Σοφοκλῆς (OR. 1264)· ‘πλεκταῖς ἑώραις ἐμπεπλεγμένην‘. ἀκανθεών · 〈ὄνομα〉 περιεκτικὸν ἐξ ἀκάνθης.

alpha 61 ἄκασκα · ἥσυχα, βραδέα. Κρατῖνος Νόμοις (II 88 M. = fr. 126 K.)· ‘ἦ πρεσβῦται πάνυ γηραλέοι σκήπτροισιν ἄκασκα προβῶντεσ‘. ἄκατος · φιάλη διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ.

alpha 62 οὕτω Θεόπομπος. (II 793 M. = fr. 3 K.). ἀκεανοί · τὰ ἐν τοῖς φακοῖς στρογγύλα καὶ δυσκάτακτα ὄσπρια.

alpha 63

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φερεκράτης (II 345 M. = fr. 188 K.)· ‘κυάμους, ἀφάκην, ζειάς, αἶρας, ἀκεάννουσ‘. ἀκέσασθαι καὶ ἀκέσαι · ἰάσασθαι, ῥάψαι.

alpha 64 Μένανδρος (fr. 654 s. Kö.)· ‘〈〉 ἐξακεῖσθαί μοι δοκῶ τὸ δίκτυον‘ καὶ ‘ἱμάτιον 〈ἐξ〉 ακούμεθα‘. τὸ δὲ ἠπήσασθαι παντελῶς βάρβαρον. ὅθεν καὶ ἀκέστριαν λέγουσιν, οὐκ ἠπήτριαν. ἀκήρατος · ἀπαθής, ἀκέραιος.

alpha 66 ἀκήριος · ἄψυχος, καὶ ἄνοσος, ὑγιής, ἀθάνατος. Ἀκράγαντα · ἀρσενικῶς 〈Ἀττικοί, θηλυκῶς Ἴωνεσ〉.

alpha 68 ἄκριες · λόφοι ὀρῶν οἱ καὶ ἄμβωνες. ἀκροθίνια · κυρίως αἱ ἀπαρχαί, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας, παρὰ τὸ ἀπὸ τοῦ θινός, τουτέστι τοῦ αἰγιαλοῦ, σεσῶσθαι αὐτά.

alpha 69* ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλούς, τουτέστι βλάπτεσθαι· ἢ τὰ ἄκρα τῶν σωρῶν. ἀκροκόμοι · τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες.

alpha 71 ἀλάβαστον · οὕτω Μένανδρος ἄνευ τοῦ ρ Ὀργῇ (fr. 307 Kö.)· ‘καὶ Λαμπρίας ὄπισθεν ἀλάβαστον φέρων‘. σημαίνει δὲ μυροθήκην. ἔνιοι δὲ (i. e. Diogen.) αὐτὴν προάγουσι σὺν τῷ ρ . ἀλαζών · κυρίως ὁ ἀπὸ ἄλης ζῶν καὶ ἀγύρτης, μεταφορικῶς δὲ ὁ ψεύστης καὶ κομπαστής.

alpha 72 οὕτω Κρατῖνος (II 190 M. = fr. 380 K.). ἀλαωτύς · ἡ τύφλωσις.

alpha 74 ἁλικρᾶς · ὁ θαλάσσῃ μεμ〈ε〉ιγμένος. ἀλιτήριοι · ἁμαρτωλοί.

alpha 75 οὗτοι δὲ λέγονται ἐκ τοῦδε· λιμός ποτε κατέλαβε τοὺς Ἀθηναίους. τῶν δὲ 〈ἐχόντων πυρὸν εἰς μέσον οὐ φερόντων, ἀλλὰ κρύφα καὶ νύκτωρ ἐν ταῖς οἰκίαισ〉 ἀλούντων ἐπιτηροῦντες οἱ περιϊόντες ἀλούμενα τὰ ἄλευρα διήρπαζον καὶ ἐντεῦθεν [οἱ τοῦτο δρῶντες αὐτῶν] ἐκλήθησαν ἀλιτήριοι. παρέτεινε δὲ τὸ ὄνομα ὥστε καὶ ἐπὶ 〈πάντων〉 τῶν μετὰ βίας τι ποιούντων λέγεσθαι. παράγεται δὲ καὶ ἀπὸ τοῦ ἀλιτραίνειν, ὅ ἐστιν ἁμαρτάνειν. ἀλλὰ ἄναξ 〈μάλα χαῖρε〉 (cf.

alpha 76 B 360)· ἀρχὴ ἐξοδίου κιθαρῳδικοῦ ὥσπερ κωμικοῦ μὲν ἥδε (fr. ad. 48 Dem.)· ‘καλλιστέφανος ...‘, ῥαψῳδοῦ δὲ αὕτη (deest Kinck., All., Bethe)· ‘νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοί ἐστε‘, τραγικοῦ δέ (e. g. Eur. Alc. 1159)· ‘πολλαὶ μορφαὶ τῶν δαιμονίων.‘ ἄλλῃ · κατ’ ἄλλο Θουκυδίδης (VI 96, 2).

alpha 78 ἀλλήλων · ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης (fr. 1124 N. 2 ) καὶ Θουκυδίδης (II 70, 1)· ‘καὶ πού τινες 〈καὶ〉 ἀλλήλων ἐγεύσαντο‘ ἀντὶ τοῦ ἑαυτῶν. ἄλλος οὗτος Ἡρακλῆς · παροιμιῶδες ἐπὶ Θησεῖ λεχθὲν τὸ πρῶτον ἢ τῷ τῶν Ἰδαίων Δακτύλων Ἡρακλεῖ ἢ τῷ Ἀλκμήνης διὰ τοὺς παλαιοτέρους.

alpha 80* ἀλύει (Soph. Ph. 174; Ar. vesp. 111)· ἀδημονεῖ, δυσχεραίνει, ἀθυμεῖ, ἀπορεῖ. ἀλύειν · ἔνιοι τὸ μὲν ἐπαίρεσθαι δασέως ἀξιοῦσι προφέρεσθαι οἷον (ς 333)· ‘ἦ ἁλύεις ὅτι Ἶρον ἐνίκησας;‘ τὸ δὲ λυπεῖσθαι ψιλῶς (E 352)· ‘ὣς ἔφαθ’, ἡ δ’ ἀλύους’ ἀπεβήσατο‘.

alpha 81 Δίδυμος δὲ (p. 185, fr. 9 Schm.) ἀμφότερα ψιλῶς· τὸ μὲν γὰρ ἀπὸ τοῦ ἀλεαίνεσθαί φησι, τὸ δὲ ἀπὸ τῆς ἄλης. Ἀττικώτερον δὲ τὸ ἀμφότερα δασέως· καὶ γὰρ τὸ ἀλεαίνεσθαι δασύνουσιν οἱ Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα· ἁμίς, ἅμαξα ἁμνός, Ἁλαεῖς, ἁνύειν ἁμῶς. ἀλυκτεῖν · δυσφορεῖν.

alpha 83 ἄλυπος · ὁ μὴ λυπούμενος. λέγεται δὲ καὶ ἀλύπητος. Θεόπομπος (II 821 M. = fr. 81 K.). ἄλυς · ἡ ἄλη καὶ ὁ ῥιπασμός.

alpha 84 καὶ ἀλύειν τὸ μηδὲν πράττειν. Μένανδρος Ἐπιτρέπουσιν (fr. 3 Kö)· ‘τί δ’ οὐ πο[ι]εῖς ἄριστον, ὁ δ’ ἀλύει πάλαι κατακείμενοσ‘. ἀλυσθαίνειν · ἀδυνατεῖν.

alpha 86 ἀλυσκάζειν · περιΐστασθαι, ἐκκλίνειν. ἀλύσσειν · τρέμειν, πάλλεσθαι, πηδᾶν, δυσφορεῖν, λύσιν μὴ εὑρίσκειν, μαίνεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

alpha 88 ἀλφιτόχρωτος κεφαλῆς · τῆς πολιᾶς. Ἀριστοφάνης Τελμησσεῦσιν (II 1161 M. = fr. 533 K.). ἀλωπόχρους · ὁ πολιός.

alpha 90 ἁμαδρυάδες · νύμφαι, αἳ ἅμα δρυσὶ γίνονται καὶ ἀπογίνονται. ἀμαλλεῖον · νῦν δὲ οὐλόδετόν τινες· οἱ δὲ θρυόδεσμον, τὸν ἐκ τῆς καλάμης στρεφόμενον δεσμόν, ᾧ δεσμοῦσι τὰ δράγματα καὶ τὴν συγκειμένην ἐκ τούτων ἀμάλλαν· ἀμάλλαι γὰρ αἱ ἐκ τῶν δραγμάτων ἀγκαλίδες.

alpha 91 οἱ δὲ τὸν δεσμὸν τοῦ δράγματος· ἀμάλλας γὰρ τὰ δράγματα ἐκάλουν. Καλλίας Πεδήταις (fr. 3 Dem.)· ‘ὅτ’ ἀμαλλείῳ παῖς ὢν ἐδέθην‘. ἁμαμηλίς · ἀπίου γένος παρὰ Ἀττικοῖς.

alpha 93 ἀμαχ 〈ε〉 ί · Ξενοφῶν (an. I 7, 9)· ‘οὐκ ἀμαχ 〈ε〉 ὶ ταῦτα ἐγὼ λήψομαι‘, καὶ Θουκυδίδης πρώτῃ (143, 4). ἀμβλυσθονῆσαι · τὸ ἀναβλύσαι.

alpha 94 Εὔπολις Δήμοις (II 464 M. = fr. 105 K.)· ‘ 〈ἀμβλυσθονῆσαι κἀναχλοῆσαι τὴν πόλιν〉 ‘. πάντα τὰ τοιαῦτα οἱ κωμικοὶ ποιοῦσι παρῳδοῦντες. ἀμβλύτερος · Θουκυδίδης (II 40, 4; cf.

alpha 95 65, 4). ἄμβωνες · οἱ λόφοι τῶν ὀρῶν καὶ [ἡ] ἴτυς πᾶσα καὶ οἷον ὀφρὺς καὶ ὑπεροχὴ καὶ τὰ χείλη τῶν λοπάδων.

alpha 96 Ἀριστοφάνης ὁ κωμικός (immo Eup. II 440 M. = fr. 52 K.)· ‘ἀλλ’ ὦ πολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας περιλείξασ‘. ἀμέλει · δηλαδή, πάντως· ἐπίρρημα γάρ ἐστι συγκατάθεσιν δηλοῦν.

alpha 98 ἁμίδα · δασέως. Εὔπολις Αὐτολύκῳ (fr. 4 Dem.)· ‘τί δῆτ’ ἄν, εἰ μὴ τὴν ἁμίδα καθεῦδ’ ἔχων‘, καὶ ὁ Ἀριστοφάνης (fr. 41 Dem.)· ‘κατεσκέδασέ μου τὴν ἁμίδα κεχηνότοσ‘. λέγουσι δὲ καὶ ἅμαξαν δασέως καὶ καθημαξευμένα καὶ ὅλως τῇ δασείᾳ προσῳδίᾳ χαίρουσιν οἱ Ἀττικοί. καὶ παρὰ Μενάνδρῳ [ὡς] λέγεται ἐν τῷ 〈Νομο〉 θέτῃ (fr. 292 Kö.) διὰ τοῦ θ ἡ συναλοιφὴ αὕτη· ‘ἑκκαίδεκα κεῖνθ’ ἁμίδες.‘ καὶ τὸ ἁμάξιον οὕτω λέγουσι θἀμάξιον, καὶ ‘ 〈οὐκ〉 ἀναβεβήκει πώποτε ἐφ’ ἅμαξαν, ἀλλ’ ἐφ’ ἵππον.‘ Νικόστρατος ἐν Παρακολυμβώσῃ (fr. 1 Dem.). ἀμνός · πρόβατον μέσον τὴν ἡλικίαν, καὶ ἀμνὴ τὸ θῆλυ.

alpha 99 τρεῖς γὰρ ἡλικίαι· ἀρήν, ἀμνός, ἀρνειός. ἄμπωτις · ξηρασία, Ἀττικῶς, ἢ ἀνάπωτις.

alpha 100* ἰδίως δὲ τὰ περὶ τὰ παρὰ τῇ θαλάσσῃ στενὰ συμβαίνοντα πάθη ἀμπώτιδες 〈καὶ πλημμύραι〉 , οἷον αἱ τοῦ ῥοθίου ὑποχωρήρεις καὶ ἐπικλύσεις. ἀμύνεσθαι · Θουκυδίδης μὲν (I 42, 1) ἀντὶ τοῦ ἀμείβεσθαι, Σιμωνίδης δὲ (fr.

alpha 101 229 Bgk.) ἀντὶ τοῦ χάριτας ἀποδιδόναι, Σοφοκλῆς δὲ (O. C. 873; fr. 1004 P.) ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἀμυστὶ πιεῖν · οὕτω Φερεκράτης (II 358 M.

alpha 102 = fr. 202 K.) ἐπιρρηματικῶς. λέγεται δὲ ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ μυσάντων. τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστίσαι (cf. Plat. com. II 684 M. = fr. 189 K.). λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ. ἀμφηρικὸν ἀκάτιον · μικρόν, ἐν ᾧ εἷς ἐλαύνει τὰς δύο κώπας.

alpha 103 ἔστι δ’ ἐν τετάρτῃ (67, 3) Θουκυδίδου τὸ ὄνομα. ἀμφίβολοι · πανταχόθεν βαλλόμενοι [ἢ ἀπορούμενοι, διαφόροις συνεχόμενοι λογισμοῖς ἀγνοίᾳ τοῦ αἱρετοῦ καὶ εἴτε τοῦτο εἴτε ἐκεῖνο ποιήσουσιν].

alpha 105 ἀμφίδουλος · ὁ ἐξ ἑκατέρων τῶν γονέων δοῦλος. Εὔβουλος ἐν Πεντάθλῳ (fr. 2 Dem.)· ‘νόθος, ἀμφίδουλος, οὐδαμόθεν οὐδείς, κύων‘. ἀμφιετηρίς · ἡ κατ’ ἔτος γινομένη ἑορτή τε καὶ θυσία.

alpha 106* Κρατῖνος Ἀρχιλόχοις (fr. 2 Dem.)· ‘ 〈– 〉 εἶτ’ ἀμφιετηριζομέναις ὥραις τε καὶ χρόνῳ μακρῷ‘. ἀμφιθαλεῖς παῖδες · οἷς ἄμφω περίεισιν οἱ γονεῖς· οὗτοι καὶ τὰς εἰρεσιώνας διεκόσμουν.

alpha 108* ἀμφίκαυστις · ἡ ὡρίμη κριθή, 〈ἣν ἡμεῖς εὔστραν καλοῦμεν〉 . παρὰ δὲ τοῖς τραγικοῖς (fr. ad. 586 N. 2 ) καῦστις εἴρηται μεταφορικῶς ἡ μάχη. κωμικοὶ δὲ καὶ ἐπὶ γυναικείου μορίου φασίν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρατῖνος (II 186 M. = fr. 381 K.). ** δὲ τὴν ὀσφὺν οὕτως ἔφη καὶ τὰ ἰσχία, ἔνιοι δὲ τὸν ξηρὸν χόρτον. ἀμφίσβαινα · ὄφις ὁ καὶ ἐπὶ τῆς οὐρᾶς κεφαλὴν ἔχων.

alpha 109* Ἀριστοφάνης Πελαργοῖς (fr. 18 Dem.). ἀμφισβητεῖν · μὴ συμφωνεῖν, ἀλλ' οἷον χωρὶς βαίνειν.

alpha 111 ἀμφισβητήσιμον · Πλάτων (e. g. Soph. 231 e) καὶ ὁ Θεόπομπος (deest K.—D, cf. FG Hist 115, 313). ἀμφισβητήτου δὲ Θουκυδίδης (VI 6, 2). ἀμφιτάπητες · οἱ μὴ ἑτερόμαλλοι, ἀλλ' ἐξ ἑκατέρων τῶν μερῶν δασεῖς.

alpha 113 〈ἀ〉 μφορῆ · τὸ δυικὸν συναλείφοντες οἱ Ἀττικοὶ λέγουσιν ἀντὶ τοῦ ἀμφορέε καὶ τὰ ἄλλα ὁμοίως. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (282)· 'ἀλλ' ὦ περικαλλῆ Θεσμοφόρω δέξασθέ με'. Πλάτων Μετοίκοις (fr. 6 Dem.)· ' 〈〉 ὦδ' ἀναισχυντοῦντε τὼ μιλτηλιφῆ'. 〈καὶ〉 Διὶ Κακουμένῳ (fr. 4 Dem.)· 'τὼ προσεμφερῆ τὴν σοφίαν'. οὕτω Τηλεκλείδης Ἡσιόδοις (fr. 2 Dem.) καὶ οἱ λοιποί. ἀμφότερα · κατ' ἀμφότερα. [5]

alpha 114 Θουκυδίδης (I 13, 5). ἀναγκαῖοι · οἱ προσήκοντες κατὰ γένος.

alpha 115 Μένανδρος Θυρωρῷ (fr. 208 Kö.)· 'οὐκ ἀδελφός, οὐκ ἀδελφὴ παρενοχλήσει, τηθίδα οὐδ' ἑώρακε 〈ν〉 τὸ σύνολον, θεῖον οὐδ' ἀκήκοεν. εὐτύχημα δ' ἐστὶν ὀλίγους τοὺς ἀναγκαίους ἔχειν'. ἀναζεύξας · ἀναστάς, ἀναστήσας.

alpha 116 Θουκυδίδης ὀγδόῃ (108, 3)· 'ἀναζεύξας ἤλαυνεν ἐπὶ τῆς Ἰωνίασ'. Ἄναια · οἱ ἄλλοι οὐδετέρως.

alpha 117 Θουκυδίδης ὀγδόῃ (19, 1) τὴν Ἀναίαν. ἀνακούς · τοὺς Διοσκούρους λέγουσιν 〈ὀξύνοντεσ〉 ὡς Αἰακοὺς καὶ κατεύχονται οὕτως.

alpha 118 καὶ (fr. com.?) 'ἀνακοῖν Διοσκό[υ]ροιν' περισπῶντες ὡς σοφοῖν. ἀνακτᾶσθαι · καὶ ἀντὶ τοῦ θεραπεύειν [τίθεται δὲ ἡ λέξις] καὶ ἐπὶ τοῦ τὸ προαπολωλὸς αὖθις κτήσασθαι καὶ ἀπολαβεῖν.

alpha 119 Θουκυδίδης (VI 92, 4). ἀνακῶς · ἀντὶ τοῦ φροντιστικῶς, ἐπιμελῶς, πεφυλαγμένως.

alpha 120 Ἡρόδοτος (VIII 109, 4)· 'καί τις οἰκίην τε ἀναπλασάσθω καὶ σπορᾶς ἀνακῶς ἐχέτω'. ἀναλοῦντες · ἀντὶ τοῦ ἀναιροῦντες.

alpha 121 Θουκυδίδης (IV 48, 3) [καὶ ἀναλῶν] καὶ ἀναλοῦν (II 24, 1) τὸ ἀναιρεῖν καὶ ἀνάλωμα (I 99, 3) ὁ αὐτός. ἀνανεοῦσθαι · ὡς ἡμεῖς Θουκυδίδης πέμπτῃ (18, 9) καὶ Πλούτοις Κρατῖνος (II 110 M.

alpha 122 = fr. 167 K.). ἀναπίπτειν · οὐ τὸ κατακλίνεσθαι, ἀλλὰ τὸ μεταμέλεσθαι καὶ μετατίθεσθαι καὶ ἀποκνεῖν.

alpha 123 Θουκυδίδης πρώτῃ (70, 5)· 'καὶ νικώμενοι ἐπ' ἐλάχιστον ἀναπίπτουσιν'. ἀναπόμπιμα δῶρα · τὰ ἀποστρεφόμενα.

alpha 125 ἀνασπᾶ 〈ν〉 · [ἀντὶ τοῦ] καταλύει 〈ν〉 ἢ ἀναιρεῖ 〈ν〉 . Θουκυδίδης (VI 100, 3). ἢ [ἀνασπᾶν τὸ] ἀντλεῖν τὸ ὕδωρ. Φερεκράτης (II 358 M. = fr. 180 K.)· 'κάδους ἀνασπῶν'. ἀνδραγαθία · 〈καλοκἀγαθία〉 .

alpha 126* Ὑπερείδης (2, 16)· 'ἐστεφάνωμαι δὲ ὑπό τε τῶν ἱππέων ἁπάντων ἀνδραγαθίας ἕνεκα'. λέγεται δὲ καὶ ἀνδραγαθίζεται (Thuc. II 63, 2) καὶ ἀνδραγαθίζεσθαι (Thuc. III 40, 4). ἄνδραγχος · δήμιος, ὁ τοὺς ἄνδρας ἄγχων.

alpha 128 ἀνδρόπαις · ὁ ἤδη ἀνδρούμενος παῖς. ἀνδροσάθων (fr.

alpha 129 ad. 932 K.)· ὁ μεγάλα ἔχων αἰδοῖα. ἀνείρειν · ἀναπείρειν, ὅθεν καὶ ἡ ἄνερσις παρὰ Θουκυδίδῃ (I 6, 3)· 'καὶ χρυσῶν στεφάνων ἀνέρσει'.

alpha 131 ἀνεκτοί · Θουκυδίδης (II 35, 2)· '[καὶ] μέχρι 〈γὰρ〉 τοῦ 〈δε〉 ἀνεκτοὶ 〈οἱ〉 ἔπαινοί εἰσιν'. ἀνεκτὰ δὲ Πλάτων Σοφισταῖς (fr. 11 Dem.) καὶ ἀνεκτῶς Ἰσοκράτης (5, 11). ἀνεξεύρετα · ἐν τρίτῃ Θουκυδίδης (87, 3)· 'ἀνεξεύρετος ἀριθμόσ'.

alpha 132 οὕτω δὲ καὶ Ἑλλάνικος (FG Hist 4, 194) κέχρηται. ἀνερμάτιστος ναῦς (cf.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

alpha 133 Plat. Theaet. 144a)· κούφη σάβουρα οὐκ ἔχουσα ἕρμα. ἀνεφόρησαν · ἀντὶ τοῦ ἀνήνεγκαν.

alpha 134 Θουκυδίδης τετάρτῃ (115, 2). ἄνεχε · ἀντὶ τοῦ πάρεχε.

alpha 135 Θεόπομπος (II 821 M. = fr. 82 K.). ἀνέχειν · τὸ ἀνατέλλειν τὸν ἥλιον ἢ τὴν σελήνην.

alpha 136 λέγεται δὲ ἀνέχειν καὶ τὸ ἐξέχειν καὶ προέχειν, ὡς Θουκυδίδης ἐν τετάρτῃ (53, 3)· ‘πᾶσα γὰρ ἀνέχει ὡς τὸ 〈Σικελικὸν καὶ〉 Κρητικὸν πέλαγοσ‘, καὶ τὸ κωλύειν, ὡς ὁ αὐτὸς ἐν ἕκτῃ (86, 4)· ‘τοὺς ταῦτα κωλύοντας καὶ ἀνέχοντασ‘. καὶ Ἀριστοφάνης (II 1191 M. = fr. 621 K.)· ‘σὺ δ’ οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν‘. καὶ τὸ διαβαστάζειν καὶ φέρειν, ὃ καὶ ἀνέχεσθαι καὶ ἐπανέχειν λέγεται. ἀνεχρήσαντο · διέφθειραν. [5]

alpha 137 οὕτω Θουκυδίδης (I 126, 11). σημαίνει δὲ καὶ τὸ εἰς χρείαν τινὰ παρειλήφασιν. ἀνήκει · Ἀντιφῶν μὲν (fr.

alpha 138* 103 Bl.) ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ (II 713 M. = fr. 31 K.) ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα ἔφη, Θουκυδίδης δὲ (III 45, 3) ἀνήκουσιν ἀντὶ τοῦ τελευτῶσι, λήγουσι. καὶ Δημοσθένης (LX 6) ἀνήκοντα ἀντὶ τοῦ διαφέροντα. ἀνθρώπειον σῶμα · Κάνθαρος (fr.

alpha 139 3 Dem.). καὶ ἀνθρωπεία φύσις · Θουκυδίδης (II 50, 1). ἀνθρωπῆ · τὸ τοῦ ἀνθρώπου δέρμα, ὡς λεοντῆ.

alpha 140* 〈’Ιωνικῶς δὲ ἀνθρωπέη〉 . Ἡρόδοτος ε′ (25, 1)· ‘σφάξας ἀπέδειρε πᾶσαν τὴν ἀνθρωπέην‘. ἀνιμᾶσθαι · ἀρύεσθαι.

alpha 142 ἀνοητίαν · τὴν ἄνοιαν Ἀριστοφάνης (II 1205 M. = fr. 746 K.). ἀνοηταίνειν δὲ Ἀμειψίας (fr. 1 Dem.). ἀνοίγει καὶ ἀνοίγνυσι · διχῶς.

alpha 144 ἀνοκωχήν διὰ τοῦ ο τὴν ἀνοχὴν λέγουσι· πολὺ δέ ἐστι παρὰ Θουκυδίδῃ (e. g. I 40, 4; IV 38, 1 cf. 117, 1; V 25, 3; VIII 87, 4). σημαίνει δὲ καὶ τὴν ἀναχώρησιν. καὶ ἀνοκωχεύειν τὸ ἀνέχειν. ἀνταίρεταί σοι ὅπλα · Ξενοφῶν 〈Κύρου〉 Παιδείạ[ς] (V 4, 25) καὶ Θουκυδίδης ἱστορίας τρίτῃ (32, 2)· ‘〈οὔτε χεῖρας ἀνταιρομένουσ〉‘.

alpha 146 ἀντιβολία · ἱκετεία. Εὔπολις Κόλαξιν (II 555 M. = fr. 317 K.)· ‘κατ’ ἀντιβολίαν δέκα τάλαντ’ ἀπετ〈ε〉ισάμην‘. ἄντικρυς · τὸ φανερῶς καὶ διαρρήδην, σπάνιον δὲ τὸ ἐξ ἐναντίας· τὰ δὲ πολλὰ τὸ ἐξ ἐναντίας ἀντικρὺ ἄνευ τοῦ ς .

alpha 148 ἀντίπαις (cf. fr. com. ad. 318 K.)· ὁ πρόσηβος καὶ ὑπὲρ τὴν τοῦ παιδὸς ἡλικίαν. ὁ δὲ αὐτὸς καὶ ἀνδρόπαις παρ’ Ἀριστοφάνει (Ar. Byz. p. 88 N.). ἀντίπαλον · Θουκυδίδης ἀντὶ τοῦ ἶσον (e.

alpha 149 g. VI 23, 1) καὶ ἀντικείμενον (e. g. I 3, 3; III 11, 1). ἀνύτειν · οἱ Ἀττικοί, ὅπερ ἡμεῖς ἀνύειν.

alpha 150 ἁνύειν δὲ τὸ σπεύδειν, δασείạ 〈τ〉 ῇ πρώτῃ. Ὅμηρος δὲ τὸ ἀνύειν ὡς ἡμεῖς (Δ 56)· ‘οὐκ ἀνύω φθονέουσα ...‘ ἀξιόχρεων · ἐν τῷ ω λέγουσι καὶ λιπόνεων καὶ τὰ οὐδέτερα.

alpha 151 οἱ γὰρ παλαιοὶ ὁμοίως. τὸ δὲ ἀξιόχρεον βάρβαρον. ἀξύμβλητον · ὥστε μηδενὶ ἀπαντῆσαι.

alpha 152 Σοφοκλῆς 〈Λημνίαισ〉 (fr. 355 N. 2 = 387 P.)· ‘ἄπλαστον, ἀξύμβλητον ἐξεθρεψάμην‘. ἀπαιόλη · ἀπάτη καὶ ἀποστέρησις.

alpha 153 Αἰσχύλος 〈Περραιβίσιν〉 (fr. 186 N. 2 )· ‘τέθνηκεν οἰκτρῶς χρημάτων ἀπαιόλῃ‘. ἀπαιόλημα · ἀποπλάνημα, ἀποκάθαρμα.

alpha 154 Σοφοκλῆς (fr. 915 N. 2 = 1018 P.)· ἅπαν · οἱ μὲν Ἴωνες συστέλλουσι καὶ ὁ Ποιητὴς (Υ 156) ‘τῶν δ’ ἅπαν ἐπλήσθη πεδίον .

alpha 155 ..‘ οἱ δὲ Ἀττικοὶ ἐκτείνουσι τὴν ὑστέραν καὶ τὸ ‘παράπαν‘ ὁμοίως καὶ ἅπαντα τὰ τοιαῦτα. ἀπέδρα · καὶ τὸ πρῶτον πρόσωπον ἀπέδραν.

alpha 156*

Φερεκράτης Ἰπνῷ (II 279 M. = fr. 59 K.). ‘τί οὐκ ἐπανεχώρησα δεῦρο κἀπέδραν;‘ Μένανδρος Θετταλῇ (fr. 195 Kö. c. t.) ‘... εἶτ’ ἀπέδραν μόνοσ‘. ἀπηλιώτης · ἐν τῷ π καὶ ἀντήλιος καὶ πάντα τὰ ὅμοια ψιλῶς, καὶ ἡ ἔπηλις ἔστι παρὰ Ποσειδίππῳ (IV 527 M.

alpha 157 = fr. 41 K.). ἀποδιοπομπεῖσθαι · ἀποπέμπεσθαι τὸν προστρόπαιον Δία καὶ προστρέπεσθαι τὸν ἀποτρόπαιον καὶ οἱονεὶ καθαίρεσθαι ἢ ἱλάσκεσθαι.

alpha 159 ἀπομαγδαλιὰ καὶ ἀπομαγδαλίς · ψωμὸς εἰς ὃν ἐκματτόμενοι τὰς χεῖρας μετὰ τὸ δεῖπνον ἐρρίπτουν τοῖς κυσίν. ἀπολλύειν · ἀπολλύειν καὶ ἀπολλύναι, [καὶ] ἀποδεικνύειν καὶ ἀποδεικνύναι, 〈ὀμνύειν καὶ ὀμνύναι〉 διττῶς λέγουσιν.

alpha 161 ἀποσιμῶσαι · τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προτεῖναι γυμνήν· Φίλιππος (I 342 M. = II p. 215 K.). Θουκυδίδης δὲ (IV 25, 5) τὸ μετεωρίσαι τὰς ναῦς. ἀποσκολύψαι · ἀφελεῖν τὸ δέρμα ἢ ἀπογυμνῶσαι.

alpha 162 Σοφοκλῆς δὲ ἐν Μώμῳ (fr. 390 N. 2 = 423 P.) 〈ἀποσκόλυπτε〉 τὸ ἀποκόλουε· φασὶ 〈δὲ〉 καὶ τὸν περιτετμημένον τὸ αἰδοῖον ἀπεσκολυμμένον. ἀπόστα , οὐ μόνον ἀπόστηθι λέγουσιν, καὶ ‘παράστα‘.

alpha 163 Μένανδρος Παιδίῳ (fr. 317 Kö.)· ‘ἐνταῦθ’ ἀπόστα μικρόν‘, Δὶς ἐξαπατῶντι (fr. 110 Kö.)· ‘ἐμοὶ πάραστα· τὴν θύραν κόψας ἐγώ καλῶ τιν’ αὐτῶν‘. ἀποτρόπαιοι · 〈οἱ〉 ἀποτρέποντες τὰ κακά.

alpha 165 ἀποψύχειν · τὸ ἀποθνῄσκειν ἐν πρώτῃ (134, 3) Θουκυδίδης. ἀπφά · ἀδελφῆς καὶ ἀδελφοῦ ὑποκόρισμα.

alpha 167 ἀπώμοτον · ἀποίητον. ‘τί δ’ ἔστ’ Ἀθηναίοισι πρᾶγμ’ ἀπώμοτον‘; Εὔπολις ἐν ταῖς Πόλεσιν (II 517 M. = fr. 217 K.). ἀρδάνιον · τὸ ἀπὸ τοῦ πυθμένος ἕως τῆς γάστρας τοῦ κεραμίου, ἐν ᾧ ἄρδουσι 〈τὰ〉 θρέμματα.

alpha 169 ἄρδην · φοράδην. Εὐριπίδης Ἀλκήστιδι (607 s.)· ‘νέκυν .. ἤδη ... πρόσπολοι φέρουσιν ἄρδην ἐς τάφον τε καὶ πυράν‘. ἀρεστήρ · εἶδος πέμματος ἱεροῦ 〈τοῖς θεοῖσ〉 ἀρέσκοντος.

alpha 171 Ἄρεως νεοττός καὶ Ἄρεως παιδίον · κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ (II 651 M. = fr. 104 K.), τῷ δὲ δευτέρῳ Ἀναξανδρίδης Πανδάρῳ (III 181 M. = fr. 38 K.). Ἀρκάδας μιμούμενος (cf.

alpha 172 Paus. s. v.)· ἄλλοις ταλαιπωρῶν. οἱ γὰρ Ἀρκάδες ὑπὲρ ἑτέρων ἠνδραγαθίζοντο. ἄρκτον · οὐχὶ ἄρκον.

alpha 173 〈Κρατῖνος ἐν〉 ’Οδυσσεῦσ〈ιν〉 (II 94 M. = fr. 140 K.)· ‘ἐπ’ ἀριστέρ’ ἀεὶ τὴν ἄρκτον ἔχων λάμπουσαν, ἕως ἂν ἐφεύρησ‘. τὸν μέντοι ἄνεμον ἄνευ τοῦ τ , ὡς ἡμεῖς, ἀπαρκίαν διὰ τὸ εὔφωνον, καὶ τὴν πνοὰν ἄρκιον. 〈Αἰσχύλος Μέμνονι (fr. 127 N. 2 )〉 · ‘καὶ μὴν πελάζει καὶ καταψύχει πνοή ἄρκιος ὣς ναύταισιν ἀσκεύοις μολών‘. ἀρνευτήρ · ὁ κυβιστητήρ.

alpha 174 〈Ὅμηρος (Π 742s.)〉 · ‘ὁ δ’ ἄρ’ ἀρνευτῆρι ἐοικώς κάππες’ ἀπ’ εὐεργέος δίφρου‘. ἁρπαγή · ὀξυτόνως ἡ διαρπαγή.

alpha 175 ἡ δὲ ἁρπάγη βαρυτόνως τὸ σκεῦος, ᾧ τοὺς κάδους ἀνάγουσιν ἐκ τῶν φρεάτων. ἀρρενικόν · 〈Ἀττικῶσ〉 , οὐχὶ ἀρσενικόν.

alpha 176 τὸ τῶν γραφέων φάρμακον. ἀρρενωπὸς 〈καὶ ὁ παρὰ τῷ Κρατίνῳ (II 187 M.

alpha 177 = fr. 389 K.) ἀρρενωπάς 〉 · ὁ ἀνδρόγυνος καὶ ὁ ἀνδρεῖος, ὁ στερρός. λέγουσι δ’ οὕτω τὰ μὲν ἄλλα γύννιδας, ἔχοντας δέ τι ἀνδρόμορφον. ἄρρεν 〈νικὰ δὲ〉 καὶ [ἀρρενικῶς καὶ] ἡμίανδρος καὶ ἡμιγύναιξ καὶ διγενὴς καὶ θηλυδρίας καὶ ἑρμαφρόδιτος καὶ ἴθρις, οὗ ἡ ἰσχὺς τεθέρισται. Ἱππῶναξ δὲ (fr. 114 Bgk.) ἡμίανδρον τὸν οἷον ἡμιγύναικα. λέγεται δὲ καὶ ἀπόκοπος καὶ βάκηλος καὶ ἀνδρόγυνος καὶ γάλλος καὶ γύννις καὶ Ἄττις καὶ εὐνουχώδης. ἄρριχοι · κόφινοι οἰσύϊνοι, οὓς ἀρσενικῶς τοὺς ἀρσίχους οἱ Ἴωνες, θηλυκῶς δὲ οἱ Ἀττικοὶ τὰς ἀρρίχους φασίν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

alpha 179 ἄρρυ · ἐπίφθεγμα κωπηλατῶν ὥσπερ τὸ ʽῥυπ 〈π〉 απαί' (Ar. ran. 1073) καὶ ἕτερα τοιαῦτα.
ἀρτάβη · μέτρον ἐστὶ Περσικόν.
alpha 180 οὕτως Ἡρόδοτος (I 192, 3). ἀρτίστομος · ὁ σαφὴς καὶ ἡδὺ φθεγγόμενος.
alpha 182 ἀρυστίχους · τὰς οἰνοχόας καὶ κοτύλας. ἀρύτεσθαι · σὺν τῷ τ , οὐκ ἀρύεσθαι.
alpha 183 Ἀριστοφάνης Νεφέλαις (272)· ʽεἶτ' ἄρα Νείλου προχοὰς ὑδάτων χρυσέοις ἀρύτεσθε πρόχοισιν'.
καὶ Πλάτων Νόμοις (636d)· ʽὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δὴ καὶ ὁπόσον καὶ ὁπότε'. ἀρχέτυπον
οὐδενὶ τῶν ἀρχαίων συγγραφέων οὐδὲ ῥητόρων οὐδὲ τῶν Μούσαις κατόχων εἴρηται.
alpha 185 ἀρχολίπαροι · οἱ λιπαροῦντες, ἵνα ἄρξωσιν, ἢ οἱ ἐκ τοῦ ἄρχειν λιπαινόμενοι. ἄσβολος · θηλυκῶς
ἡ ἄσβολος, οὐκ ἀρσενικῶς ὁ ἄσβολος.
alpha 186 Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (244 s.)· ʽτὰ πλεῖστα γάρ ἀποπεπόνηκας. —φεῦ, ἰοῦ τῆς
ἀσβόλου'. ἀσκωλίζοντες · ἐφ' ἑνὸς ποδὸς ἁλλόμενοι [χωλαίνοντες].
alpha 188* ἀστάνδης · γραμματοφόρος. Περσικὴ ἡ λέξις. ἀστόξενοι · οἱ γένει μὲν ἐξ ἀρχῆς προσήκοντες, ἐπὶ
δὲ γῆς ἀλλοδαπῆς γεγονότες.
alpha 190 ἀστραγάλους · οἱ Ἀττικοί, τὸ γὰρ θηλυκὸν Ἰακόν· καὶ παρ' Ὁμήρῳ τινὲς θηλυκῶς, οἷον (Ψ 88)·
ʽνήπιος οὐκ ἐθέλων ἀμφ' 〈ἀστραγάλῃσιν ἐρίσσασ' ἀντὶ τοῦ ʽἀμφ'〉 ἀστραγάλοισι χολωθείσ'.
Φερεκράτης Δουλοδιδασκάλοις (II 272 M. = fr. 43 K.)· ʽἀντ' ἀστραγάλων 〈〉 κονδύλοισι
παίζετε'. Πλάτων Λύσιδι (206e)· ʽἠρτίαζον ἀστραγάλοις παμπόλλοισ'. λέγουσι δὲ καὶ ἀστρίχους.
Ἀντιφάνης Ἐπιδαυρίῳ (III 50 M. = fr. 92 K.)· ʽἐπαίζομεν μὲν ἀρτίως τοῖς ἀστρίχοισ'. ἀσφόδελος
προπαροξυτόνως ἀναγνωστέον· ʽοὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ' (Hes.
alpha 191* opp. 41)· τὸν δὲ τόπον, ἐν ᾧ φύεται, ὀξυτονητέον, ὡς καὶ παρ' Ὁμήρῳ (λ 539)· ʽκατ' ἀσφοδελὸν
λειμῶνα'. ἀσχέδωρος · ὁ σύαγρος παρ' Ἰταλιώταις.
alpha 192 Αἰσχύλος 〈Φορκίσι (fr. 261 N 2 ). ἔστι δὲ〉 ὁ ἐκ τῆς ἰδίας ἀλκῆς ἄσχετα δωρούμενος οἷον
βίαιος. ἄττα · σημαίνει μὲν ἡ φωνὴ τὸ τινά, ὁπότε ψιλοῦται, ἢ καὶ τὸ ὀλίγα ἢ παραπλήσιον·
ὁπότε δὲ δασύνεται, τὸ ἅτινα, ὅπερ οἱ Ἴωνες ἅσσα λέγουσιν· σημαίνει δὲ καὶ τὸ ἅπερ ἄν, ὡς
Δημοσθένης δηλοῖ ἐν τῷ 〈Περὶ〉 τῆς παραπρεσβείας (XIX 304)· ʽὁ δὲ πρεσβεύων Αἰσχίνης
οὑτοσί· ἐλθὼν 〈δ'〉 [πῶς μὲν καὶ] ἅττα 〈μέν〉 ποτε διελέχθη 〈καὶ ἐδημηγόρησεν, αὐτὸς
ἂν εἰδείη〉 '.
alpha 193 ἐνίοτε δὲ καὶ ὡς παρέλκον ἐστί, ὡς ἐν Χείρωνι Φερεκράτης (II 339 M. = fr. 151 K.)· ʽτοῖς δέκα
ταλάντοις προστιθείσ', ἔφη, ʽἀλλ' ἄττα πεντήκοντα'. Ἀριστοφάνης Νεφέλαις (630)· ʽὅστις
σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων'. παραλαμβάνει δὲ καὶ τὸ πότε ἢ τὸ ἰσοδυναμοῦν τούτῳ
καὶ τὸ πηνίκα (cf. Eratosth. fr. 22 Str.). 〈Χιωνίδης (II 1181 et V 14 Mein. = fr. 8 K.)〉 · ʽπυθοῦ
χελιδὼν πηνίκ' ἄττα φαίνεται' καὶ πάλιν (ib.)· ʽὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι'.
αὐθέντης · οὐχ ὁ δεσπότης, ἀλλ' ὁ αὐτοχειρίᾳ φονεύς.
alpha 194 λέγεται δὲ ὁ αὐτὸς ἐντελέστερον καὶ αὐτοέντης. αὐτερέται (Thuc.
alpha 195 I 10, 4)· οἱ αὐτοὶ καὶ ἐρέται καὶ ὁπλῖται. αὐτοβοεί · τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς
ἔργοις οἷον ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ.
alpha 196 οὕτω Θουκυδίδης (II 81, 4; III 113, 6, saepius). παρὰ Θεοπόμπῳ δὲ (deest M.—K.—Dem.) ἀντὶ τοῦ
κατὰ κράτος. ἀφαδία · ἡ ἔχθρα.
alpha 197* Εὔπολις ἐν Ἀνδρογύνοις (II 438 M. = fr. 34 K.)· ʽ... δοκῶ μοι νῦν ὁρᾶν ἀφαδίαν'. ἀφάδιος ·
ἐχθρός, παρὰ τὸ ἀφανδάνειν.
alpha 199 ἄφενος · ὁ ἀπὸ ἐνιαυσίων γεννημάτων πλοῦτος. καὶ Ὅμηρος μὲν οὐδετέρως (Α 171), τινὲς δὲ
ἀρσενικῶς. ἀφεψιασάμην · ἀφωμίλησα.
alpha 200

Σοφοκλῆς 〈Ἀντηνορίδαισ〉 (fr. 134 N. 2 = 138 P.). ἀφροδισία ἄγρα (Soph.
alpha 201 fr. 169 N 2 = 166 P.)· οἱ πέρδικες διὰ τὸ τοὺς θηρῶντας τῇ θηλείᾳ ἐπιβουλεύοντας αἱρεῖν αὐτούς. ἀχάναι · Περσικὰ μέτρα.
alpha 202 ἄλλοι δὲ (i. e. Phanod. FHG. I 369, fr. 25) κίστας φασίν, εἰς ἃς ἀπετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ θεωρίας στελλόμενοι. ἀχέτης · 〈Ἀττικοὶ διὰ τοῦ α , ἠχέτης Ἴωνεσ〉 · ὁ ἠχητικὸς τέττιξ.
alpha 204 ἀχυρός · ὁ ἀχυρών. ** (IV 629 M. = fr. ad. 783 K.)· ‘ 〈 –〉 Ἑκάβην ὀτοτύζουσαν καὶ καόμενον τὸν ἀχυρόν‘. ἀωρόλειος · ὁ παρὰ τὴν ὥραν καὶ τὴν ἡλικίαν λεαινόμενος καὶ φαλακριῶν.
alpha 205 τὸ αὐτὸ καὶ ὠμογέρων, ὁ παρ’ ἡλικίαν γηράσας. ἀωτεύειν · ὑφαίνειν καὶ ὑπνοῦν.
alpha 207 ἄωτοι · οἱ κωφοί. ἄωτον · κόσμος, στέφανος.
beta 1 βᾶ · ἐπίρρημα, 〈ὃ〉 πρὸς τοὺς ‘καταρνῆ;‘ ἀναφωνήσαντας εἰώθασιν οἱ ἀντιτιθέντες ἀντεμβοᾶν, καὶ ἔστιν οἱονεὶ σκῶμμα. Ἕρμιππος Δημόταις (II 338 M. = fr. 19 K.). βαλβίδες · αἱ ἐπὶ ἀφέσεως δρομέων γραμμαὶ καὶ ὅσαι ἐν φρέασι καὶ ἄλλοις τοιούτοις ἐγκοπαὶ καὶ ἐξοχαί, δι’ ὧν κατίασιν εἰς αὐτά.
beta 3 βάλλειν · τρία σημαίνει· τὸ προέσθαι, τὸ ῥῖψαι, τὸ τρῶσαι. βαμβαλύζειν · τὸ τρέμειν ὑπὸ ψύχους.
beta 4 〈οὕτως Ἱππῶναξ (fr. 24b, 2 D. 2 )〉 . βασίλεια καὶ βασίλισσα · Ἀττικῶς.
beta 5 〈Ξενοφῶν Οἰκονομικῷ (9, 15)〉 . Μένανδρος δὲ (fr. 652a Kö.) βασίλινναν λέγει. βασιλειᾶν · 〈βασιλείαν περιβάλλεσθαι〉 .
beta 7 βασίλειον · εἶδός τι μύρου. βασίλειος στοά · 〈Ἀθήνησι〉 πλησίον τῆς τοῦ Ἐλευθερίου Διὸς στοᾶς.
beta 9 βασιλίδες · ὑποδήματά τινα. βασιλίνδα · παιδιᾶς εἶδος, ᾗ βασιλέας καὶ ὑπηρέτας ἀπομιμούμενοι ἐχρῶντο.
beta 11 βαῦνος · ἡ κάμινος, ἐξ οὗ καὶ βάναυσοι. βή · τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς, οὐχὶ ‘βαί‘ λέγουσιν Ἀττικοί.
beta 12 Κρατῖνος Διονυσαλεξάνδρῳ (II 40 M. = fr. 43 K.)· ‘ὁ δ’ ἠλίθιος ὥσπερ πρόβατον ‘βὴ βή‘ λέγων βαδίζει‘. βήρηκες · φυράματα μαζῶν καὶ αἱ τολύπαι τῶν ἐρίων.
beta 14 βιβάζει · συζυγεῖ, ὀχεύει. βλακεύεσθαι · μωραίνειν, καὶ βλακεύματα αἱ εὐήθειαι.
beta 16* βλάξ · μαλακός, χαῦνος, ἐκλελυμένος ἢ μωρός. βουνός · 〈λόφοσ〉 .
beta 17 Φιλήμων ἐπισκώπτει (IV 16 et 46 M. = fr. 49 et 142 K.) τὸ ὄνομα ὡς βάρβαρον. βριμοῦται · ἀπειλεῖ.
beta 19 βύβλινον καὶ βίβλινον · διχῶς. βυσαύχην · ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον.
beta 21 βῶλος · θηλυκῶς 〈Ἀττικοί, ἀρσενικῶς Ἴωνεσ〉 . γάλως · ἡ τοῦ ἀνδρὸς ἀδελφή, ὁποία ἐστὶ τῇ Ἑλένῃ ἡ Κασσάνδρα.
gamma 1 καὶ ἡ τοῦ ἀδελφοῦ γυνὴ 〈ὁποία ἐστὶ τῇ Κασσάνδρᾳ ἡ Ἑλένη〉 · πρὸς ἀλλήλας γὰρ λέγονται. 〈 γάμμα 〉 · τὸ γάμμα στοιχεῖον γέμμα φασὶν Ἴωνες ὡς Δημόκριτος (Vors.
gamma 2 2 68 B 19). γάστρις · ὁ περὶ γαστέρα ἀκρατής.
gamma 4 γέλοιος · ὁ καταγέλαστος προπαροξυτόνως· προπερισπωμένως δὲ γελοῖος ὁ γελωτοποιός. γενειά 〈δες 〉 · αἱ τρίχες· γένειον δὲ ὁ τόπος.
gamma 6* γέντα · Θρᾳκιστὶ τὰ κρέα. Γέραιραι · παρὰ Ἀθηναίοις γυναῖκές τινες ἱεραί, ἃς ὁ βασιλεὺς καθίστησιν ἰσαρίθμους τοῖς βωμοῖς τοῦ Διονύσου, 〈ὀνομαζόμεναι οὕτω〉 διὰ τὸ γεραίρειν τὸν θεόν.
gamma 8

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέρην · ἡ θηλεία γέρανος. γέρρα · καὶ οἱ τόποι οἱ περιπεφραγμένοι καὶ ἀσπίδες Περσικαὶ ἐκ λύγων, αἱ οἰσύϊναι.

gamma 9 οἱ δὲ κωμικοὶ καὶ τὸ γυναικεῖον αἰδοῖον οὕτω καλοῦσιν (cf. Epich. fr. 235 Kaib.). γεώλοφον καλοῦσι τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον.

gamma 11 γλυκὺς ἀγκών · οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλομένου εἰπεῖν· 'ὦ γλυκέα ἤθη'. ἔστι δὲ [παροιμία] ὡς ἐπιφωνούμενον. οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι—γέρων δὲ αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος—(II 677 M. = fr. 178 K.)· 'ὦ χρυσοῦν ἀνάδημα, ὦ τοῖσιν ἐμοῖς τρυφεροῖσι τρόποις 〈ἡρμοσμένον〉, ὦ γλυκὺς ἀγκών', ὡς εἴ τις λέγοι 'ὦ γλυκὺς πῆχυσ'. 〈 Γραικούς · Ἀττικοί,〉 Ῥαικοὺς οἱ βάρβαροι τοὺς Ἕλληνας.

gamma 12* Σοφοκλῆς (fr. 983 N. 2 = 1087 P.) τῇ λέξει κέχρηται. γρῖφος · τὸ δίκτυον.

gamma 13* λέγεται δὲ καὶ ὁ δύσκολος καὶ συμπεπλεγμένος λόγος. γρώνη · τὸ κοῖλον τοῦ ἁρματείου δίφρου, εἰς ὃ τὰς μάστιγας οἱ ἡνίοχοι ἀπετίθεντο· τὸ δ' αὐτὸ καὶ ληνόν τινες ἔλεγον.

delta 1 Δαῖρα · Ἀττικῶς μήτηρ Ἐλευσῖνος. οἱ 〈δὲ〉 περὶ τελετὰς καὶ μυστήρια τὴν ὑγρὰν οὐσίαν Δαῖραν ὀνομάζουσιν. δάπητες · ἐπιβόλαια ἢ στρώματα.

delta 2 οὕτως Ἀριστοφάνης (Plut. 528). δάπιδες · στρώματα ἄττα.

delta 3 Φερεκράτης (II 290 M. = fr. 185 K.)· 'ὁ χορὸς δ' αὐτοῖς εἶχεν δάπιδας ῥυπαρὰς καὶ στρωματόδεσμα[τα]'. λέγουσι δὲ καὶ τάπιδας. δείλη ὀψία · ἡ περὶ δύσιν ἡλίου.

delta 4* δείλη πρωία · ἡ πρὸ ἀρίστου ὥρα ἢ μετὰ τὸ ἄριστον. δελφίς · ὄργανον μολυβδοῦν πρὸς ναυμαχίαν τοῦ δελφῖνος παρώνυμον· ὅθεν καὶ Θουκυδίδης νῆας δελφινοφόρους (VII 41, 2)· 〈'ἔπειτα αὐτοὺς αἱ κεραῖαι ὑπὲρ τῶν ἔσπλων, αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι, ἠρμέναι ἐκώλυον'〉.

delta 6 δένδρεον καὶ δένδρος · τὸ δένδρον. δένδρον 〈δὲ〉 καὶ δένδρα μᾶλλον ἢ δένδρος καὶ δένδρη καὶ αἱ πτώσεις δένδρου καὶ δένδρῳ μᾶλλον ἢ δένδρους καὶ δένδρει. Ξενοφῶν γοῦν ἐκείνως μᾶλλον ὀνομάζει, 〈Θουκυδίδης δὲ 'δένδρεσι' λέγει (II 75, 1)〉, Ὅμηρος δὲ ἔνθα μὲν δένδρεα λέγει (I 541; Λ 88; Φ 338; ε 238, 241; η 114; λ 588; ν 196; ς 359; τ 112; ω 336ἔνθα δὲ (Γ 152) 'δενδρέῳ ἐφεζόμενοι'. δενδρυάζουσαν φωνήν οἱ φωνασκοὶ καλοῦσι.

delta 8 δεσμά · οὐδετέρως Ἀττικοί, οὐχὶ δεσμούς. δεῦρο · ἐνθάδε, ἐπὶ τοῦ παρόντος.

delta 9 ἢ καὶ 'ἄγε καὶ ἐλθέ'. δῆθεν ὡς 'δή' 〈Θουκυδίδησ〉 φησί (I 92)· τοῦτο δὲ προσποίησιν ἀληθείας ἔχει, δύναμιν δὲ ψεύδους.

delta 10 λαμβάνεται δὲ τὸ θεν ὡς παραπληρωματικόν. δημιουργός · ὁ δημοσίᾳ μισθαρνῶν.

delta 11 Ὅμηρος (ρ 383ss.; τ 135). παρὰ τοῖς Δωριεῦσιν ὁ δήμου προεστὼς 〈ἅτε〉 τὰ δημόσια πράττων, παρὰ τοῖς Ἀττικοῖς καὶ ἡ γυνή, ἣ ἐν τοῖς γάμοις πέμματα πέσσει. δημότης · Ἀττικῶς ὁ τοῦ αὐτοῦ δήμου μετέχων.

delta 12 [καὶ] Ἴωνες δὲ δημότας φασὶ τοὺς δημοτικούς. δημοῦσθαι · παίζειν.

delta 13 οὕτω Πλάτων (Theaet. 161e). δήπου · ὡς 'δή', ἀντὶ τοῦ ἀμέλει, δηλονότι.

delta 15 δήπουθεν · δηλονότι ἢ ἔκ τινος τόπου. διαβασιλίζεται · τῆς βασιλείας ἀντιποιεῖται.

delta 17 διακυνοφθαλμίζεσθαι (IV 633 M. = fr. ad. 975 K.)· τὸ ὑποβλέπεσθαι καὶ ὑφορᾶσθαι ἀλλήλους. διαληκᾶσθαι · ἀντὶ τοῦ διαμωκᾶσθαι καὶ διαπαίζειν.

delta 19 διαττᾶν Ἀττικοὶ λέγουσι τὸ σήθειν, καὶ διηττημένον τὸ σεσησμένον. διδυμάονε · οἱ κεχωρισμένοι τοῖς σώμασι, δίδυμοι δὲ οἱ συμφυεῖς.

delta 21

Δίες (tit. com.?)· τὸ πληθυντικὸν τοῦ Διός· καὶ δρᾶμα οὕτως ἐπιγέγραπται· καὶ αἱ ἐφεξῆς πτώσεις Διῶν καὶ Δισὶ καὶ Δίας. διεσαρδάνισε · διεγέλασεν, οὐκ ἐπὶ διαχύσει, ἀλλ' οἱονεὶ Σαρδάνιον γέλωτα.

delta 23 διέτης, τριέτης, πεντέτης καὶ πάντα τὰ ὅμοια βαρύνουσιν Ἀττικοὶ προφέροντες τῷ τόνῳ ὡς εὐεργέτης. δίκορσον · δικόρυφον.

delta 25 δικραές · δικέφαλον. δίοπος · ὁ οἰκονόμος· Αἰσχύλος ἐν Σισύφῳ (fr.

delta 26 232 N. 2 ). καὶ ὁ τῆς νεὼς ἐπιμελητής, παρὰ τὸ διοπτεύειν ὡς ἐπισκοπῶν αὐτὴν καὶ ἐφορῶν. Ἀριστοφάνης δὲ ἐν Λημνίαις (II 1103 M. = fr. 372 K.) εἴρηκε καὶ 'ναυφύλαξ'. δόνακα ὑπολύριον · τὸ γὰρ παλαιὸν ἀντὶ τοῦ κέρατος κάλαμον ὑπετίθεντο ταῖς λύραις.

delta 27 Ἀριστοφάνης ἐν Βατράχοις (233). δορίδες · μαγειρικαὶ τράπεζαι.

delta 29 〈 δόρυ καὶ κηρύκειον · ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων〉 · οἱ 〈γὰρ〉 ὑπ' Ἀθηναίων πολεμούμενοι Γεφυραῖοι προέπεμψαν κήρυκα καὶ κατόπιν καθώπλισαν ἑαυτοὺς κἀντεῦθεν ἡ ῥηθεῖσα παροιμία. δόχμη · τὸ τετραδάκτυλον.

delta 30 Ἀρίσταρχος δὲ ὀξύνει, ὡς καὶ Ἀριστοφάνης ἐν τῷ (IV 627 M. = fr. ad. 571 K.)· 'οὔ τοι δ' ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά.' ἐν μέντοι τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχνη, ὄγχνη. δύο διὰ τοῦ ο καὶ δύω κατὰ ἔκτασιν Ἀττικοὶ λέγουσιν ἑκατέρως, 'δυοῖν' δὲ ἐπὶ γενικῆς καὶ δοτικῆς, τὸ δὲ 'δυεῖν' σπάνιον παρὰ τοῖς παλαιοῖς, 〈σύνηθες δὲ τοῖσ〉 νεωτέροις· ἔστι δὲ ὅμως παρὰ Θουκυδίδῃ (VIII 101, 1) 〈'δυεῖν ἡμέραιν'〉 .

delta 31 λέγουσι δὲ καὶ 'τῶν δύο' καὶ 'τοῖς δύο'. τὸ δὲ 'δυσί' βάρβαρον καὶ κατὰ χρῆσιν Ἀττικὴν καὶ κατὰ λόγον γραμματικόν. Ὅμηρος δὲ ἐπὶ μὲν ὀρθῆς καὶ γενικῆς 〈καὶ δοτικῆσ〉 καὶ αἰτιατικῆς 'δύο' λέγει, ἐπὶ δὲ κλητικῆς κατὰ ἔκτασιν 'δύω'. δυοῖν · καὶ ἐπὶ δοτικῆς παρὰ Ἀττικοῖς, οἷον (IV 626 M.

delta 32 = fr. ad. 284 K.)· 'δυοῖν γυναικοῖν εἷς ἀνὴρ οὐ στέργεται'. δύσεριν · φιλόνεικον, παρὰ τὸ δυς , ὅ ἐστι κακόν, καὶ τὴν ἔριν.

delta 34 δυσωπεῖσθαι · ὑφορᾶσθαι, φοβεῖσθαι μεθ' ὑπονοίας, σκυθρωπάζειν, [ἔνιοι δέ, εἰ καὶ μὴ τῶν Ἀττικῶν, ἀντὶ τοῦ αἰδεῖσθαι] ἡ δὲ συνήθεια καὶ ἐπὶ τοῦ ἱκετεύειν καὶ παρακαλεῖν κέχρηται. δωριάζειν · τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ σώματος· αἱ γὰρ κατὰ Πελοπόννησον κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θατέρᾳ ἐπιπεπορπημέναι.

epsilon 1 ἑανὸς κασσίτερος (cf. Σ 613)· ὁ εὐδιάχυτος, καὶ (cf. Σ 352; Ψ 254) ἐπιβόλαιον λιτόν, ποτὲ δὲ λεπτὸν ὕφασμα. ἐγγαστρίμυθος ὁ ἐν γαστρὶ μαντευόμενος· τοῦτον καὶ ἐγγαστρίμαντιν 〈καλοῦσιν〉 , ὃν νῦν τινες Πύθωνά φασιν, Σοφοκλῆς δὲ (fr.

epsilon 2 56 N. 2 = 59 P.) στερνόμαντιν, Πλάτων ὁ φιλόσοφος (Soph. 252c) Εὐρυκλέα ἀπὸ Εὐρυκλέους τοιούτου μάντεως, Ἀριστοφάνης Σφηξί (1019)· 'μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν'. Φιλόχορος δὲ ἐν τρίτῃ Περὶ μαντικῆς (FHG I 416, fr. 192) καὶ γυναῖκας ἐγγαστριμύθους φησίν. ἐγγλωττογάστορες · οἱ ἀπὸ γλώττης ζῶντες.

epsilon 4 ἐγρηγόρσιον · τὸ ποιοῦν ἐγρηγορέναι, εἴτε βρῶμα εἴτε ἄλλο τι τοιοῦτον. Φερεκράτης (II 343 M. = fr. 208 K.) [παυσινύσταλον]. ἐγχειρογάστορες · οἱ ἀπὸ χειρῶν ζῶντες.

epsilon 6 ἐγχέλεια · τὰ τεμάχη τῶν ἐγχέλεων. ἔγχελυς · τὸ ἑνικόν, ἐγχέλεις δὲ τὸ πληθυντικὸν καὶ ἐγχέλεων καὶ ἐγχέλεσιν.

epsilon 8 ἐγχρῖσαι · τὸ παῖσαι κέντρῳ σκορπίον ἢ σφῆκα ἤ τι τοιοῦτον. ἐδέατρος · τὸ μὲν ὄνομα Ἑλληνικόν, ἡ δὲ χρεία Περσική.

epsilon 9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦν δὲ προγεύστης τὸ πρῶτον καὶ προήσθιε τοῦ βασιλέως εἰς ἀσφάλειαν. ὕστερον δὲ ἐνομίσθη ἐδέατρον καλεῖν τὸν ἐπιστάτην τῆς ὅλης διακονίας καὶ παρασκευῆς. ἐθάς · φίλος, συνήθης.

epsilon 10 τινὲς δὲ καὶ ἠθάς. ἐθελοντής · 〈Ἀττικῶς, ἑκοντὴς κοινῶσ〉 .

epsilon 11 ὁ αὐθαιρέτως τι ποιῶν, παρὰ τὸ ἐθέλω. καὶ ἐθελονταὶ διδάσκαλοι, ὅτε τις μὴ λαβὼν χορὸν μηδὲ χορηγητὴν ἔχων δι’ ἑαυτοῦ τὰ πάντα παρεῖχε. εἰθύφαλλος · αἰδοῖον ἐντεταμένον, καὶ ᾆσμα Διονυσιακὸν Ἀθήνησι καὶ ἑταιρικόν [δέ], τουτέστι φίλον ταῖς ἑταιρίσιν, αἳ καὶ ἀνασεισίφαλλοι φερωνύμως λέγονται ἐν τῇ κωμῳδίᾳ (IV 631 M.

epsilon 12 , deest K.—D., cf. Hipp. fr. 111 Bgk.) ὡς ἀνασείουσαι [φησὶ] τὸν φάλητα. 〈 εἰκοσίπηχυ καὶ εἰκοσίκλινον καὶ〉 εἰκοσιστάδιον · 〈Ἀττικῶσ〉 διὰ τοῦι · εἰκοσάπηχυ δὲ εἰπεῖν καὶ εἰκοσάκλινον καὶ εἰκοσαστάδιον οὐ χρή, εἰ καὶ ἔδοξε τοῖς ὕστερον οὕτω λέγειν, οἳ καὶ πεντάκλινον καὶ τοιαῦτά τινα λέγουσιν.

epsilon 14 εἰλεῖν · ἐκπιέζειν ἐλαίας ἢ στέμφυλα. εἰλεῖν · τὸ ἐν ἡλίῳ ξηραίνειν.

epsilon 16 εἵλη · ἐπὶ τοῦ τάγματος, καὶ τοῦ πλήθους συστροφή. εἱληθερεῖν · τὸ ἡλιάζεσθαι.

epsilon 18 εἱληθερὲς ὕδωρ · τὸ ὑπὸ ἡλίου τεθερμασμένον. εἵλη καὶ ἕλη · ἡλίου [ἀλέα] αὐγή.

epsilon 20 εἰλυσπᾶσθαι · ὁμοίως ὄφει καὶ σκώληκι εἰλεῖσθαι καὶ σπᾶσθαι, ὅθεν καὶ εἰλύσπωμα ἡ τοιαύτη κίνησις 〈καὶ〉 εἰλυσπώμενοι· συνειλούμενοι. εἰνάτερες αἱ τοῖς ἀλλήλων ἀδελφοῖς γεγαμημέναι, ἃς συννύμφους τινές φασιν.

epsilon 22 εἶπον καὶ εἶπα · ἀμφότερα παρὰ Ἀττικοῖς, μᾶλλον δὲ τὸ πρότερον. καὶ τὰ προστακτικὰ δὲ ἀμφοτέρως καὶ εἰπὲ καὶ εἶπον [ὀξυτόνως]. καὶ αἱ μετοχαὶ ὁ εἰπὼν καὶ ὁ εἴπας. εἰστέον · γνωστέον.

epsilon 24 εἰσωποί · εἴσω ἰδέσθαι, εἰς ὦπα, ἐνώπιον, ἐν ὀφθαλμοῖς. εἶτα καὶ ἔπειτα · Ἀττικά.

epsilon 25 τὸ δὲ εἶτεν καὶ ἔπειτεν Ἰακά. διὸ καὶ παρ’ Ἡροδότῳ (ἔπειτε I 146 3; II 52, 2; VI 83, 1; 91, 1) κεῖνται. ἐκμαγεῖον · ἐκτύπωμα, σφραγίς, εἰκών.

epsilon 26* τὸ δ’ αὐτὸ καὶ ἔκμαγμα· Ἀριστοφάνης (Thesm. 514)· ‘λέων, λέων 〈σοι γέγονεν〉 αὖτ’ ἔκμαγμα σόν‘. γίνεται ἐκ τοῦ μάττειν, ὅθεν καὶ ἐκμάττειν καὶ ἐκμάττεσθαι τὸ ἀποσπογγίζειν, μάλιστα δὲ τὸ ἔκ τινος τύπον αἴρειν τινά. 〈ἐκ δὲ τούτου τοῦ μάττειν καὶ〉 ἀπομάττειν τὸ ἀποσπογγίζειν, ἀναμάττειν δὲ τὸ ἄνω ποιεῖν τοῦτο περὶ κεφαλὴν 〈καὶ〉 ὁ μάγος ὁ ἀποματτόμενος πάντα. τὸ δὲ μάττειν καὶ ἐπὶ τοῦ φυρᾶν ἄρτους τίθεται, ὅθεν καὶ ἡ μᾶζα καὶ ἡ μαγίς. ἐκολλόπωσε · ἐκόλλησε. [5]

epsilon 27 κόλλοπες γὰρ βοῶν νεῦρα, ὅθεν κόλλα γίνεται. ἐκτρυπῆσαι · 〈τὸ〉 λάθρα ἐξελθεῖν.

epsilon 28 εἰστρυπῆσαι δὲ τὸ παρεισελθεῖν. ἐλαία καὶ ἐλάα καὶ ἐλᾶ · Ἀττικῶς ὁ τῆς ἐλαίας καρπός.

epsilon 29* καὶ ἐλαολογεῖν τὸ συλλέγειν ἐλαίας. Ἐλαία · πόλις ἐν Ἰταλίᾳ.

epsilon 31 ἔλαιος ἄγριος · οὐκ ἀγριέλαιος. Ἴωνες δὲ τὴν ἄρρενα καὶ ἀγρίαν ἐλαίαν ἔλαιόν φασιν. ἐλλεδανοί · οἱ μανδάκαι, οἷς δεσμοῦνται τὰ δράγματα.

epsilon 33* ἐλλόβια · ἐνώτια, διὰ τὸ ἐν τοῖς λοβοῖς τῶν ὤτων εἶναι. ἐμμέλεια · (Aesch.

epsilon 34 fr. 19 N. 2 )· τραγικὴ ὄρχησις, ὥσπερ ἡ κωμικὴ κόρδαξ καὶ ἡ σατυρικὴ σίκιννις. ἐκαλεῖτο δὲ ἐμμέλεια καὶ τὸ ὑπὸ τὴν τραγικὴν ὄρχησιν ᾀδόμενον αὔλημα. ἐμπαλασσόμενοι · ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φυρόμενοι.

epsilon 35 οὕτω Θουκυδίδης (VII 84, 3). ἕνος · ὁ ἐνιαυτός.

epsilon 36 〈δασύνουσιν οἱ Ἀττικοὶ ὡς καὶ τὸ〉 ἄφενος (cf. Ael. gl. α 199) καὶ τὸ ‘ἕνη τε καὶ νέα‘ (cf. Paus. gl. ε 38). ἐν τέλει · ἐν ἀρχῇ.

epsilon 38

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν χρῷ κουρά · ἡ ψιλὴ καὶ πρὸς τὸν χρῶτα. ἐν χρῷ κουρίας · ὁ ἐν χρῷ κεκαρμένος πρὸς αὐτῷ τῷ χρωτὶ οἷον σύνεγγυς καὶ πλησίον τοῦ δέρματος τὰς τρίχας ἐξυρημένος.

epsilon 40 ἐν χρῷ πλοῦς · ὁ γῆς ἐγγύς. Θουκυδίδης (II 84, 1) ἐν χρῷ παραπλεῦσαί φησι τὰς ναῦς. ἐξανέψιοι · ὧν οἱ πατέρες ἀλλήλων ἀνεψιοὶ ἢ αἱ μητέρες 〈ἀνεψιαί〉.

epsilon 42 ἐξελώπισας · ἀντὶ τοῦ ἐξέδυσας, ἔξω τοῦ λοποῦ ἐποίησας. ἐξέχειν τὸν ἥλιον · τὸ ἐπιτεταλκέναι.

epsilon 43 ‘ἔξεχε, ὦ φίλ’ ἥλιε‘, κωλάριόν τι παροιμιῶδες ὑπὸ τῶν παίδων λεγόμενον, ὅταν ἐπινέφῃ ψύχους ὄντος (Carm. pop. fr. 40 D. 2 ). Ἀριστοφάνης Νήσοις (II 1110 M. = fr. 389 K.)· ‘λέξεις ἄρ 〈α〉 ὥσπερ τὰ παιδί[α]’· ἔξεχ’ ὦ φίλ’ ἥλιε.‘ ἐξιονθίζειν · ἐκ ῥιζῶν αἴρειν τὰς τρίχας.

epsilon 44 ἴονθοι γὰρ αἱ πρῶται φυόμεναι τρίχες. ἑόργη · ἡ τορύνη.

epsilon 46 ἑοργίζεται · τορυνᾶται. ἑπέται · οἱ θεράποντες παρὰ τὸ ἕπεσθαι.

epsilon 48 ἔπηλις · ἡ ἐπὶ τοῦ προσώπου μελανία καὶ κατὰ τὸν Σοφοκλέα (fr. 944 N. 2 = 1046 P.) τὸ πῶμα τῆς λάρνακος. κοινῶς ἔφηλις. ἐπηλυγάζονται · ἐπισκιάζονται, ἐπικρύπτονται.

epsilon 49 λύγην γὰρ καλοῦσιν οἱ Ἀττικοὶ τὴν σκιάν. [ ἔπη] ἡρῷα · οὐκ ἔπη, τὰ ἑξάμετρα.

epsilon 50 ὁ 〈δὲ〉 ἐποποιὸς ἀντίκειται τῷ μελοποιῷ. ἐπηνήκιζεν · ἐξηπάτα.

epsilon 51* οὕτω Κρατῖνος (II 191 M., cf. fr. 319 K.). Ἐπιάλτην · Ὅμηρος (cf.

epsilon 52 Ε 385) καὶ Ἡσίοδος (fr. 10 Rz. 2 ) καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα, διὰ δὲ τοῦ φ τὸν ἄνδρα Ἐφιάλτην. καὶ τὸ ῥιγοπύρετος λεγόμενον (cf. Alc. fr. 169 Lob.). ἐπίδεσμα · οὐδετέρως Ἀττικοί, οὐχὶ ἐπιδέσμους.

epsilon 54* ἐπίκληρος · ἡ ἐπὶ 〈τῷ〉 παντὶ κλήρῳ καταλελειμμένη παῖς, ὀρφανὴ πατρὸς καὶ μητρὸς ἀδελφῶν τε οὖσα ἔρημος· ὁμοίως δὲ καὶ ἡ ἤδη γεγαμημένη, ὅταν ᾖ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καταλελειμμένη. καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ ἐπίκληρος καὶ ἡ μηδέπω γεγαμημένη, ἀλλὰ παρὰ τῷ πατρὶ μὲν ἔτι οὖσα, ἐλπιζομένη δὲ καθήκειν αὐτῇ πᾶσαν τὴν πατρόθεν οὐσίαν. καλοῦνται δὲ ἐπίκληροι, κἂν δύο ὦσι κἂν πλείους. τινὲς δὲ ταύτην ἐπιπαματίδα καὶ πατροῦχον καλοῦσιν. ἐπὶ κόρρης · ἐπὶ κεφαλῆς ἢ γνάθου ἢ κροτάφου. [5]

epsilon 55 κόρρην γὰρ καὶ κόρσην τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσιν. τινὲς δὲ καὶ ῥάπισμα λέγουσι τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν ἁπτόμενον καὶ τοῦ κροτάφου. ἐπὶ Παλλαδίῳ · δικαστήριον Ἀθήνησιν ἐπώνυμον τῆς Παλλάδος.

epsilon 56 Ἀριστοφάνης (II 1194 M. = fr. 585 K. cf. fr. ad. 73 N. 2 )· ‘ἄκων κτενῶ σε, τέκνον. ὁ δ’ ὑπεκρίνατο· ἐπὶ Παλλαδίῳ τἄρ’, ὦ πάτερ, δώσεις δίκην.‘ ἐπίπαστα · τὰ ἐπιπασσόμενα τῷ ἔτνει ἄλφιτα.

epsilon 57 Ἀριστοφάνης Ἱππεῦσιν (103s.). ἐπιπόρπαμα · ἡ τῶν κιθαρῳδῶν ἐφαπτίς.

epsilon 58 Πλάτων ἐν Ταῖς ἀφ’ ἱερῶν (II 617 M. = fr. 10 K.)· ‘δότω τις τὴν κιθάραν τῶν ἔνδοθεν καὶ τοὐπιπόρπαμα‘. ἐπριάμην · Ἀττικοὶ ἀντὶ τοῦ 〈ἐ〉ωνησάμην καίτοι καὶ ὠνεῖσθαι καὶ ὠνήσεται καὶ ἐωνημένος καὶ τὰ ἄλλα λέγοντες.

epsilon 60 ἐπιτήθη · ἡ τῆς τήθης μήτηρ ὥστε εἶναι τὴν μὲν τήθην μητρὸς ἢ πατρὸς μητέρα, τὴν δὲ ἐπιτήθην τὴν τοῦ πατρὸς μητέρα καὶ τῆς μητρὸς μητέρα. οὕτως Ἰσαῖος ἐν τῷ Πρὸς Δωρόθεον (fr. 35). Θεόπομπος Παμφίλῃ (II 809 M. = fr. 42 K.)· ‘αὐτὴ δ’ ἐκείνη πρότερον ἐξηπίστατο παρὰ τῆς ἐπιτήθησ‘. ἔρημον ἐμβλέπειν · ἀκίνητον καὶ νωθρόν, οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. [5]

epsilon 61* Ἀριστοφάνης Πολυίδῳ (II 1135 M. = fr. 456 K.). ἕρκη πλεκτά τινα ἐκ τριχῶν οἱ κωμικοὶ οἱ παλαιοὶ καλοῦσιν (IV 629 M.

epsilon 62 , cf. Pher. II 356 M. = fr. 209 K.). καὶ ἑρκάνη· ὁ φραγμός. ἕρμα · ἡ ἐν θαλάσσῃ πέτρα.

epsilon 64 ἔρροφον · οὐκ ἐρρόφησα. ἐρρωπίζομεν (Ion fr.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

epsilon 65 74 Bl.)· σύμμ 〈ε〉 ικτα καὶ συμπεφυρμένα ἐποιοῦμεν. ῥῶπος γὰρ ὁ ποικίλος καὶ λεπτὸς φόρτος. ἕσμα · Ἀριστοτέλης (fr.

epsilon 66 271 R.), ὅπερ Θεόφραστος (hist. pl. I 2, 1) μίσχον. ἔστι δὲ ὁ αὐχὴν τοῦ καρποῦ τῶν ἀκροδρύων. ἐσπάριζεν · οὐκ ἐσκάριζεν.

epsilon 68 ἐτέλεσε · κατήνυσε. Θουκυδίδης (IV 78, 5)· ‘ἐς Φάρσαλόν 〈τε〉 ἐτέλεσεν.‘ εὔειλος · εὐήλιος.

epsilon 69 Ἀριστοφάνης (II 1210 M. = fr. 780 K.). εὔηθες · ἐπὶ τοῦ βελτίονος.

epsilon 70 καὶ Θουκυδίδης ἐν τρίτῃ (83, 1) καὶ ὁ φιλόσοφος (Plat. rep. 425 b). εὐκλεία καὶ τὰ ὅμοια · μακρὰ ἡ τελευταία καὶ παροξύνεται, ὥσπερ καὶ Ἐρατοσθένης ἐν ιβ′ Περὶ 〈κωμῳδίασ〉 (fr.

epsilon 71 47 Str.). εὐλάχα · τὸ ἄροτρον παρὰ Θουκυδίδῃ (V 16, 2).

epsilon 72 Δώριος δὲ ἡ λέξις. εὐνάς · ἰδίως Θουκυδίδης (VI 67, 1) τὰ ἐπίγεια· ‘τὸ ἥμισυ αὐτοῖς τοῦ στρατεύματος ἐν τῷ πρόσθεν ἦν, τεταγμένον ἐπὶ ὀκτώ, τὸ δὲ ἥμισυ ἐπὶ ταῖς εὐναῖς ἐν πλαισίῳ‘.

epsilon 74 Εὔνοστος · ἀγαλμάτιον φαῦλον ἐν τοῖς μυλῶσιν. εὐπραξίαν · οἱ παλαιοὶ κωμικοὶ (IV 656 M.

epsilon 75 = fr. ad. 91 K.) διὰ τοῦ ξ . Θουκυδίδης δὲ (e. g. IV 65, 4) διὰ τοῦ γ . εὐτελής · ἐπ’ ἀρετῆς ὁ φειδωλὸς καὶ ὀλιγοδάπανος.

epsilon 76 οὕτω Μένανδρος (fr. 800 Kö.)· ‘ἐγὼ δ’ ἀνόητος, εὐτελὴς ὑπερβολῇ, ὁ 〈δ’〉 ἄσωτός ἐστι, πολυτελής, θρασὺς σφόδρα.‘ εὐώνυμον λέγουσιν, οὐ μόνον ἀριστερόν.

epsilon 77 καὶ παρὰ Θουκυδίδῃ πλεῖστον (e. g. I 48, 4). 〈 ἐφέπεσθαι Ἀττικοί〉 , ἕπειν Ἴωνες, τὸ κακοῦν καὶ περιελαύνειν.

epsilon 79 Ἐφέσια γράμματα · ἐπῳδαί τινες δυσπαρακολούθητοι, ἃς καὶ Κροῖσος ἐπὶ τῆς πυρᾶς εἰπὼν ὠφελήθη. καὶ ἐν Ὀλυμπίᾳ Μιλησίου καὶ Ἐφεσίου παλαιόντων τὸν Μιλήσιον μὴ δύνασθαι παλαίειν διὰ τὸ τὸν ἕτερον περὶ τῷ ἀστραγάλῳ ἔχειν τὰ Ἐφέσια γράμματα. φανεροῦ δὲ τούτου γενομένου καὶ λυθέντων αὐτῶν τριακοντάκις τὸ ἑξῆς πεσεῖν τὸν Ἐφέσιον. ἐφθάραται φησὶ Θουκυδίδης (III 13, 3) καὶ ‘τετάχαται‘ (cf.

epsilon 80 V 6, 5). πάντα τὰ τοιαῦτα ἀρχαϊκά. ἐφολκά · ἀντὶ τοῦ ἐπαγωγά.

epsilon 81 Θουκυδίδης (IV 108, 5)· ‘ 〈τοῦ Βρασίδου ἐφολκὰ καὶ οὐ τὰ ὄντα〉 λέγοντοσ‘. ἐχμάζειν · κωλύειν καὶ ἐπέχειν, καὶ ἐχμάσαι· κατασχεῖν, ἑλεῖν.

epsilon 83 ἑψία · παιδιά, γέλως, χλεύη, καὶ ἑψίαι· ἑορταί. ἑψιᾶται · γελᾷ, παίζει, διαλέγεται.

epsilon 85 ἐωθώς · χωρὶς τοῦ ι Ἄρχιππος (II 729 M. = fr. 48 K.) καὶ Ἀραρὼς (III 277 M. = fr. 19 K.) ἔωθας καὶ Θουκυδίδης (VIII 69, 2; 97, 1) ἐώθεσαν. ἑώρων οἱ Ἀττικοὶ λέγουσιν, τὸ δὲ ἀνάλογον ὥρων [τὰ γὰρ ἀπὸ τοῦ ο ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον, ἐπὶ τοῦ παρεληλυθότος ἢ ἀπ’ αὐτοῦ τοῦ ο πάλιν ἄρχεται ἢ ἀπὸ τοῦ ω ].

epsilon 86 λέγουσι δὲ ὅμως καὶ ὥρων ἄνευ τοῦ ε οἱ νεώτεροι. Θουκυδίδης δὲ μόνος (e. g. I 51, 1) ἑώρων. ζεῦγμα · οὐ τὸ σχοινίον, ἀλλ’ ἡ ἐζευγμένη σχεδία ἐν ποταμῷ ἢ θαλάττῃ.

zeta 1 καὶ Θουκυδίδης ἑβδόμῃ (69, 4)· ‘τὸ ζεῦγμα τοῦ λιμένοσ‘. ζευξίλεως · ὁ βασιλεύς, ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί (cf.

zeta 2* Soph. fr. 129 N. 2 = 133 P.). ζμῆγμα · ** ζμικρὸν καὶ μικρόν · οἱ Ἀττικοί, μικκὸν δὲ Ἴωνες.

zeta 5 ζμινύη · ἀξινάριον Ἀριστοφάνης 〈‘Ολκάσιν (II 1118 M. = fr. 402 K.)〉 · ‘ἀλλ’ ἱμάντα μοι δὸς καὶ ζμινύην, ἐγὼ γὰρ εἶμ’ ἐπὶ ξύλα.‘ ζυγόν · οὐδετέρως τὸ τῶν ὑποζυγίων.

eta 1 ἦ· Ἀττικοί. οἱ δὲ μέσοι σὺν τῷ ν , οἷον (deest M.—K.—D.)· ‘ 〈–〉 ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην‘. τὸ δὲ τρίτον οὐδέποτε ἄνευ τοῦ ν . Ἴωνες δὲ ἔα φασίν. ᾖα · δισυλλάβως τὸ ἐπορευόμην σὺν τῷ ι γράφεται.

eta 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοφάνης Ὁλκάσιν (II 1119 M. = fr. 403 K.)· ‘ἐπεὶ δ’ ἐγενόμην οἷπερ ᾖ’ ἐπὶ ξύλα‘. οἱ δ’ οὖν Ἴωνες ἤϊα λέγουσι καὶ ἤϊσαν τὸ ἤεσαν. καὶ παρὰ Θουκυδίδῃ (I 1, 1) οὕτως ἀναγνωστέον· ‘ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτόν‘. [οἱ δὲ Ἴωνες ᾔεσαν καὶ ᾔϊσαν]. ἧδος · τὸ ὄξος, δασύνουσιν οἱ Ἀττικοί. [5]

eta 4 ἡδυλισμός · εἶδός τι κολακείας. καὶ Μένανδρος ἐν Ἁλιεῖ (fr. 28 Kö.) κέχρηται τῷ ἡδυλίζειν. ἠθεῖος · παρὰ Ἴωσι νεωτέρου πρὸς πρεσβύτερον προσαγόρευσις.

eta 6* ᾔθεος · Ἀττικοί, ἠΐθεος 〈Ἴωνεσ〉 · ὁ ὥραν γάμου ἔχων καὶ μηδέπω γεγαμηκώς. λέγεται δὲ καὶ ἐπὶ παρθένου ἐπιγάμου. Εὔπολις (II 561 M. = fr. 332 K.)· ‘εἰ μὴ κόρη δεύσειε τὸ σταῖς ᾔθεοσ‘. ἤλεκτρα · τὰ ἐν ταῖς κλίναις ποικιλλόμενα.

eta 8 ἠλύγη · σκιά, σκέπη· καὶ ἐπηλυγασάμενος παρὰ Πλάτωνι (Lys. 207b) τὸ προβαλόμενος καὶ ἐπισκιασάμενος. ἡμίκραιρα (Ar.

eta 9 Thesm. 227)· τὸ ἥμισυ τῆς κεφαλῆς. ἤνεγκα καὶ ἤνεγκον ἄμφω λέγουσιν, μᾶλλον δὲ τὸ ἤνεγκον· τὸ μὲν ἀπὸ τοῦ ἐνέγκαι, τὸ δὲ ἀπὸ τοῦ ἐνεγκεῖν.

eta 11 ἡνίοχοι · οἱ εὐπορώτατοι Ἀθήνησι κατελέγοντο ἁρματοτροφήσοντες ὥσπερ οἱ ἱππεῖς. ἠπιάλης (Sophr.

eta 12* fr. 70; cf. 68 Kaib.)· ἐπιάλτης, ὁ πνιγαλίων ὑπό τινων. ἠπίαλος · ὁ ῥιγοπύρετος.

eta 14 Ἡράκλεις · ἐπίφθεγμα θαυμαστικόν. τὸ δὲ Ἥρακλες κλητικὴ πτῶσις, ὥσπερ τὸ ‘ὦ Δάματερ‘ τοῦ ‘Δήμητερ‘ διαφέρει (cf. Tryph. fr. 107 V.). ἐπικαλοῦνται δὲ τοὺς Ἡρακλείδας ὁμοίως. Μένανδρος (fr. 730 Kö.)· ‘ἀλλ’ Ἡρακλεῖδαι καὶ θεοί‘. Ἡρακλεώτης λίθος · ὁ ὑφ’ ἡμῶν Μάγνης λεγόμενος, ὁ ἐπισπώμενος τὸν σίδηρον.

eta 15 Ἡράκλεια γὰρ ἡ Μαγνησία. δεκαοκτὼ δὲ πόλεις Ἡράκλεια, ἐξ ὧν μία Λυδίας, ὅθεν ὁ Ἡρακλεώτης λίθος. θαιρός · ὁ ἄξων.

theta 1 Σοφοκλῆς 〈Τριπτολέμῳ〉 (fr. 539 N. 2 = 596 P.). θαλάμαι · βαρυτόνως καταδύσεις.

theta 2 θαλαμαὶ δὲ τόπος ἱερὸς τῶν Διοσκούρων. θαλλός · κλάδος ἐλαίας.

theta 4 θαλλοφόροι οἱ γεραίτατοι παρὰ Ἀθηναίοις ἐλέγοντο. θέαν παρ’ αἴγειρον τὴν πόρρωθεν λέγουσιν.

theta 5* Ἀθήνησι γὰρ αἴγειρος ἦν, ἧς πλησίον τὰ ἴκρια ἐπήγνυον εἰς τὴν θέαν πρὸ τοῦ θέατρον γενέσθαι. οὕτω Κρατῖνος (II 189 M. = fr. 339 K.). θεειδέστατον · θεοῦ ἰδέαν ἔχον.

theta 6 εἶπε δὲ Ἀντιφῶν ἐν τῷ Περὶ ὁμονοίας (B 48) οὕτως· ‘ἄνθρωπος, ὅς φησι πάντων θηρίων θεειδέστατον γενέσθαι‘. θεμέλια · οὐδετέρως.

theta 8 θεὸς θεός (cf. Bacch. 3, 21) καὶ ἐν ἱεροποιΐαις καὶ 〈ἐν〉 ἄλλαις πράξεσι〈ν〉 ἐπελέγετο (cf. Paus. θ 7; lex. an. 2). Θετταλικὰ γέρα · 〈χλαμύδεσ〉 διὰ τὸ ἔπαθλον ἐν τοῖς ἐκεῖ ἀγῶσιν αὐτὰς κεῖσθαι.

theta 10 Θετταλικὴ ἔνθεσις · ἡ μεγάλη τροφή. Θετταλικοὶ δίφροι · διάφοροι, τουτέστι διαφέροντες 〈τῷ κάλλει〉 πρὸς τοὺς ἄλλους.

theta 12 Θετταλικὸν σόφισμα · ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν ταῖς παρατάξεσιν, ἀλλὰ κακουργούντων. θίς · 〈ἀρσενικῶσ〉 · ** .

theta 14* θόλος · 〈θηλυκῶσ〉 , οἶκος περιφερής, ἐν ᾧ οἱ πρυτάνεις συνειστιῶντο. πρυτανεῖον δὲ ὠνόμασται, ἐπεὶ πυρῶν ἦν ταμιεῖον. θύμον · 〈οὐδετέρωσ〉 · ** ἰατρός · γυνή.

iota 1 Ἄλεξις δὲ (III 527 M. = fr. 318 K.) ἰάτριαν λέγει. ἰατρίνη δὲ οὐχ Ἑλληνικόν. ἰδιόξενος · ὁ ἰδίᾳ καθ’ ἑαυτὸν ξένος ὤν· πρόξενος δὲ ὁ ὅλης πόλεως ξένος, παρ’ ᾧ καὶ οἱ πρέσβεις κατάγονται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ προσάγει τὰς πρεσβείας οὗτος πρὸς τὸ δημόσιον καὶ τὰ ἄλλα διοικεῖ καὶ διαπράττει ἐν τῇ πατρίδι τῇ ἑαυτοῦ τὰ τῇ πόλει ἐκείνῃ διαφέροντα, ἧς προξενεῖ.

iota 2 δορύξενος δὲ ὁ ἐκ πολέμου ξένος γεγονώς τινι. ἀστόξενος δὲ ὁ ἐκ προγόνων μὲν ἀστῶν, αὐτὸς δὲ ξένος καὶ ἀνανεώσεως δεόμενος, οἷον Ἀγαμέμνων ἐν Λυδίᾳ. ἰδιώτας · τοὺς πολίτας. [5]

iota 3 οὕτω Θουκυδίδης (III 82, 2; cf. I 115, 2). ἰδύους · τοὺς μάρτυρας.

iota 4 οὕτω Δράκων καὶ Σόλων (cf. Aristoph. II 1032 M. = fr. 222 K.). ἱερῶσθαι · φησὶ Θουκυδίδης (V 1)· ‘νομίσαντες κατὰ δή τινα παλαιὰν αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι‘.

iota 5 σημαίνει γὰρ τὸ ἱεροὺς νενομίσθαι καὶ οἷον καθιερῶσθαι. ἰλλός (Ar.

iota 6 Th. 846)· πλάγιος, διεστραμμένος, στραβός. ἰλλώπτειν · στραβίζειν.

iota 8 ἰλλώπτειν καὶ ἐνιλλώπτειν (cf. V 121 M. = fr. ad. 1019 K.)· τὸ ὑγροῖς καὶ ἐπιμύουσι καὶ κατακεκλασμένοις ὀφθαλμοῖς ἐμβλέπειν. ἰλύσω · περικαλύψω ἰλύϊ.

iota 10 ἱμᾶν · ἀντλεῖν. Ἴμβριοι · οἱ τὰς δίκας ὑποφεύγοντες, ἐπεί τινες δίκην καλούμενοι ἐσκήπτοντο ἐν Ἴμβρῳ εἶναι.

iota 12 ἱμονιά · ἱμάς, σχοινίον, ᾧ ὕδωρ ἀντλοῦμεν. ἰνᾶσθαι · καθαίρεσθαι, ἐκκενοῦσθαι.

iota 13 καὶ ὑπέρινος ὁ ὑπερκεκαθαρμένος. ἴννος · ἐξ ἡμιόνου καὶ θηλείας ἵππου· πεντήκοντα ἔτη ζῇ ἡμίονος.

iota 14 ὁ δὲ γίννος ἐξ ἀμφοτέρων ἵππων ἐν τῇ κυήσει νοσησάσης τῆς ἵππου, οἷον νάννος (cf. Arist. h. an. 577b 20ss. cf. gen. an. 748b 35). ἰξαλῆ · ἡ αἰγεία 〈δορά〉 , ἐπεὶ ἴξαλοι οἱ αἶγες.

iota 16 ἱππάκη (cf. Aesch. fr. 198 N. 2 )· Σκυθικὸν βρῶμα διὰ γάλακτος ἵππου σκευαζόμενον. ἵππου τροχός · τὸ τρυσίππιον, διὰ τὸ τοῖς διὰ γῆρας ἐκτρυχωθεῖσιν ἵπποις ἐκτυποῦσθαι τροχὸν ἀπολεγόντων αὐτοὺς τῶν στρατηγῶν.

iota 18 Ἰταλοί · οἱ βάρβαροι, Ἰταλιῶται δὲ οἱ ἐπῳκηκότες Ἕλληνες τὴν Ἰταλίαν. οὕτω καὶ Σικελοὶ καὶ Σικελιῶται διαφέρουσιν. οὐκέτι δὲ ἀνάλογον Θετταλοὶ καὶ Θετταλιῶται πρὸς ἀλλήλους ἔχουσιν, ἀλλ’ ἐκ τοῦ ἐναντίου σχεδόν. ἔθνος γάρ τι τῶν ὑπεροικούντων τὴν Θετταλίαν βαρβάρων Θετταλιῶται καλοῦνται. ἰτέας · τὰς ἀσπίδας.

iota 19 Ἀριστοφάνης (II 974 M. = fr. 65 K.)· ‘ἀνὴρ πεδήτης ἰτέαν ἐνημμένοσ‘. καθαιρήσετε · καθελεῖτε.

kappa 1 Θουκυδίδης (III 13, 7) καὶ τῶν ἄλλων οἱ πλείους. καθέδρα · ἡ ἐπίσχεσις παρὰ Θουκυδίδῃ (II 18, 5).

kappa 3* καθημαξευμένος · ἐγγεγυμνασμένος. κακκάβη · ἣν ἡμεῖς κάκκαβον.

kappa 4 ἔστι δὲ 〈σκεῦοσ〉 λοπαδῶδες ἔχον ἐξ ἑαυτοῦ τρεῖς πόδας. καλαμώμενος · σταχυολογῶν.

kappa 6 κάλη καὶ καλήτης · Ἀττικοί, κήλη καὶ κηλήτης 〈Ἴωνεσ〉 . κάλλαια · τὰ πτερὰ 〈τὰ〉 ἐν τῇ τῶν ἀλεκτρυόνων οὐρᾷ.

kappa 8 καμινώ (cf. ς 27)· ἡ πολύλαλος. κάπραινα · γυνὴ ἡ ὀργῶσα πρὸς μ〈ε〉ίξεις.

kappa 10 καπρῶντας · ὁρμητικῶς ἔχοντας πρὸς συνουσίαν. κυρίως 〈δὲ〉 καπρᾶν τὸ ὀρέγεσθαι κάπρου τὴν ὗν, ὡς καὶ ταυρᾶν τὸ ταύρου ἐφίεσθαι τὴν βοῦν. κάρδακες · οὐκ ἴδιόν τι γένος, ἀλλὰ οἱ μισθοῦ στρατευόμενοι βάρβαροι.

kappa 11 οὕτω Θεόπομπος (deest ap. M.—K.—D.). ἁπλῶς δὲ οἱ Πέρσαι πάντα τὸν ἀνδρεῖον καὶ κλῶπα κάρδακα ἐκάλουν. καρδιώττειν · τὸ ναυτιᾶν καὶ τὴν καρδίαν ἀλγεῖν.

kappa 12 〈οἱ δὲ〉 Σικελιῶται, ὃ ἡμεῖς βουλιμιᾶν. Ἀπολλόδωρος ἐν ἕκτῃ Περὶ Ἐπιχάρμου (FG Hist. 244, 213 = Epich. fr. 202 Kaib.) τοὺς Σικελιώτας φησὶ τὸ τὸν στόμαχον ἐπιδάκνεσθαι ὑπὸ λιμοῦ καρδιώττειν λέγειν, ὅπερ βουλιμιᾶν λέγει Ξενοφῶν (anab. IV 5, 7; 8). καὶ εὐκάρδια πολλοὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐστόμαχα λέγουσιν. καρηβαρῶν · τὴν κεφαλὴν βαρούμενος ἀπὸ μέθης οἴνου, ὅπερ καὶ καραιβαρᾶν λέγει Φερεκράτης (II 345 M.

kappa 13 = fr. 218 K.). καρηβοᾶν · τὸ ὑπὸ ἤχων τὴν κεφαλὴν ἰλιγγιᾶν, ὑπὸ βοῆς ἐσκοτῶσθαι.

kappa 15 κατεργάσασθαι · ἀντὶ τοῦ καταπονῆσαι. Θουκυδίδης (VIII 53, 3). κατηρεφὲς οἴκημα· τὸ ταπεινόν.

kappa 17 κάχρυς · κριθαὶ πεφρυγμέναι. κέδρον οὐδετέρως λέγουσι τὸ θυμίαμα.

kappa 19 κελέοντες · οἱ ἱστόποδες καὶ πάντα τὰ μακρὰ ξύλα. κένταυρον · τὸ μόριον ἢ τὸ γυναικεῖον αἰδοῖον.

kappa 20 οὕτω Θεόπομπος (II 820 M. = fr 89 K.). κέπφος (cf.

kappa 21 Ar. pac. 1067)· εἶδος ὀρνέου ὀξυτάτου. κέρας, κέρως, κέρᾳ · ἐπὶ τῆς παρατάξεως.

kappa 22 Θουκυδίδης ὀγδόῃ (42, 2)· ‘τοῦ εὐωνύμου κέρωσ‘ 〈καὶ〉 ἐν τῇ αὐτῇ (25, 3)· ‘καὶ οἱ μὲν Ἀργεῖοι τῷ σφετέρῳ αὐτῶν κέρᾳ‘. καὶ ἐν πᾶσιν οὕτως. κηδεστής · ὁ κατ’ ἐπιγαμβρίαν οἰκεῖος ἢ πενθερός.

kappa 24 〈 κῆπον · Ἀττικοὶ τὴν φυταλιάν. καὶ〉 κῆπος καὶ παράδεισος διαφόρως παρ’ αὐτοῖς λέγεται. κῆπος · κουρά τις ἐπὶ καλλωπισμῷ διαβαλλομένη.

kappa 25 Θουκυδίδης δὲ (II 62, 3) κηπίον φησίν, κωμικοὶ δὲ (fr. ad. 34 Dem.) κηποκόμαν τὸν κῆπον κειρόμενον. κιμβερικόν · εἶδος χιτωνίσκου.

kappa 26 οὕτως Ἀριστοφάνης (Lys. 52). κλεισιάδες · αἱ μεγάλαι θύραι τῆς αὐλῆς, δι’ ὧν ζεῦγος εἰσελαύνεται.

kappa 27 καλοῦνται δὲ οὕτω διὰ τὸ κεκλεῖσθαι κατὰ τὸ πλεῖστον. κλεισίον · ὁ μέγας θυρών, καὶ κλεισίαι αἱ τούτου θύραι πλατεῖαι καὶ εἰς τὸ ἐκτὸς ἀνοιγόμεναι.

kappa 29 κλῆσαι οἱ ἀρχαῖοι λέγουσιν, οὐ κλεῖσαι, καὶ κλῇδα. οὕτω καὶ οἱ τραγικοὶ (e. g. Eur. Med. 661: κλῇδα) καὶ Θουκυδίδης (e. g. II 4, 3: ἔκλῃσε). κλίσιον · Ἀμερίας (p.

kappa 30 4 Hoffm.). τὸ προστῷον [ἴσως] παρὰ Ἴωσιν, ὡς καὶ Ὅμηρος (ω 208)· ‘περὶ δὲ κλίσιον θέε πάντῃ‘. παρὰ δὲ Ἀττικοῖς κλεισίον · ὁ μέγας θυρών. καὶ μήποτε τοῦτο μὲν ἐκτείνηται καὶ παροξύνηται, ἐκεῖνο δὲ συστέλληται καὶ προπαροξύνηται. κλυδώνιον καὶ κλύδωνα ἄμφω 〈λέγουσιν〉.

kappa 31 Θουκυδίδης δευτέρᾳ (84, 3)· ‘καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλύδωνι ἀναφέρειν‘. κνέφαλον · τύλη.

kappa 33 κοάλεμος (Ar. equ. 198)· ματαιόφρων. κοεῖν γὰρ τὸ αἰσθάνεσθαι. κόλλοψ · τὸ τραχηλιαῖον τοῦ ταύρου 〈δέρμα〉 σὺν τῇ ὑπὸ τὴν φορίνην πιμελῇ, ἐξ οὗ οἱ κόλλαβοι.

kappa 35 κοτύλη · Ἑλληνικόν, ἡμίνα οὐδαμοῦ. μέτρον καὶ τὸ κοῖλον τῆς χειρός. κράστιν · Ἀττικοὶ τὴν πόαν, γράστιν δὲ οὐδένες.

kappa 37 κρέκα · κορυφαίαν. κρητίζειν · τὸ ψεύδεσθαι.

kappa 38 Ἰδομενεὺς γὰρ ἐπιτραπεὶς τὸν ἀπὸ τῶν λαφύρων χαλκὸν διανεῖμαι τὸν ἄριστον αὑτῷ ἐξείλετο. κρίβανον οἱ Ἀττικοὶ λέγουσιν οἷον κριθῶν βαῦνον, τουτέστι κάμινον.

kappa 40 κρωβύλος · πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ τοῦτο ἐπ’ ἀνδρῶν, κόρυμβος δὲ ἐπὶ γυναικῶν, σκορπίος δὲ ἐπὶ παίδων. καὶ Θουκυδίδης (I 6, 3)· ‘κρωβύλους ἀναδούμενοι‘. κύβηβον · Κρατῖνος Θρᾴτταις (II 65 M.

kappa 41 = fr. 82 K.) τὸν θεοφόρητον. Ἴωνες δὲ τὸν μητραγύρτην καὶ γάλλον νῦν καλούμενον. οὕτω Σημωνίδης (fr. 36 Bgk.). κύδος · λοιδορία ἀρσενικῶς, καὶ παροιμία ‘κύδου δίκην ὀφείλειν‘ 〈ἐπὶ τῶν〉 συκοφαντησάντων.

kappa 43

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυλλός · ὁ πεπηρωμένος οὐ μόνον πόδα, ἀλλὰ καὶ χεῖρα. ὁμοίως καὶ χωλὸς καὶ ἐπὶ ποδὸς καὶ ἐπὶ χειρός. κυνοφθαλμίζεται (fr.

kappa 44* ad. 1058 K.)· ἀναιδῶς ἐμβλέπει. κώμην · οἱ πλεῖστοι τὸν στενωπὸν καὶ τὴν οἷον γειτνίασιν, οἱ δὲ τοὺς ἐν τῇ πόλει δήμους κώμας φασὶ προσαγορεύεσθαι καὶ κωμήτας τοὺς δημότας ἐν τῇ πόλει καὶ οἷον ἐν τῇ αὐτῇ τάξει καὶ μοίρᾳ τῆς πόλεως οἰκοῦντας.

kappa 45 οὕτως Ἀριστοφάνης (nub. 965; cf. Lys. 5). εἴρηκε δὲ καὶ Θουκυδίδης κώμας τοὺς δήμους ἐν πρώτῃ (10, 2)· ‘κατὰ κώμας δὲ τῷ παλαιῷ τρόπῳ οἰκηθεῖσα‘. κωπῆρες πλοῖον · ὡς ἡμεῖς καὶ Θουκυδίδης ἐν τετάρτῃ (118, 5).

lambda 1 Λακεδαίμονα καὶ Σπάρτην διορίζουσί τινες Λακεδαίμονα μὲν πᾶσαν καλοῦντες τὴν Λάκαιναν, Σπάρτην δὲ τὴν μίαν πόλιν. οἱ δ’ οὖν Ἀττικοὶ τὴν πόλιν αὐτὴν οὐ μόνον Σπάρτην, ἀλλὰ καὶ Λακεδαίμονα καλοῦσιν. Κρατῖνος δὲ (II 201 M. = fr. 368 K.) καὶ τὴν χώραν Σπάρτην οἶδεν, οὐ μόνον Λακεδαίμονα. λαμπρῶς · τὸ φανερῶς, οὐ τὸ ἐνδόξως.

lambda 2 καὶ παρὰ Θουκυδίδῃ (II 7, 1)· ‘καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν‘, καὶ παρὰ τοῖς ἄλλοις τοῖς παλαιοῖς. λαύρα · ἡ ἀμάρα.

lambda 4* λέμφους · τὰς πεπηγυίας μύξας. λεπτὰ πλοῖα · τὰ μικρά.

lambda 5 Θουκυδίδης δευτέρᾳ (83, 5; cf. VII 40, 5). λεσβιάσαι · μολῦναι τὸ στόμα.

lambda 7 Λέσβιον ᾠδόν · οἱ μὲν Εὐαινετίδην, οἱ δὲ Φρῦνιν τὸν Ἀριστοκλείδου 〈μαθητήν〉. Ἀριστοτέλης δὲ ἐν τῇ Λακεδαιμονίων· πολιτείᾳ (fr. 545 R.) τὸ ‘μετὰ Λέσβιον ᾠδόν‘ (Paus. μ 14) τὸν Τέρπανδρόν φησι δηλοῦν. λευκὴ στάθμη · ὁ μηδὲν διακρίνων μηδὲ διαγινώσκων.

lambda 9* λευκοπύγους (cf. Alex. fr. 321 K.)· δειλούς, ὡς μελαμπύγους τοὺς ἀνδρείους. λήκυθον ἀγγεῖόν τι φασὶν Ἀττικοί (e.

lambda 10 g. Ar. eccl. 996), ἐν ᾧ τοῖς νεκροῖς ἔφερον τὸ μύρον, τὴν ἀλάβαστον. ἀρσενικῶς δὲ τὸν ἀλάβαστρον εἶπεν Ἡρόδοτος (III 20, 1). λῃστικὸν καὶ λῃστρικὸν διαφέρει · τὸ μὲν γὰρ ἐκτὸς τοῦ ρ σημαίνει τὸ σύστημα τῶν λῃστῶν, τὸ δὲ μετὰ τοῦ ρ τὸ κτῆμα τῶν λῃστῶν.

lambda 11 Θουκυδίδης πρώτῃ (4)· ‘τό τε λῃστικὸν ... καθῄρει ἐκ τῆς θαλάττησ‘. λίαν ἐντός · σφόδρα πόρρω.

lambda 12 (cf. Thuc. VII 5, 3). λίβηθρα · τὰ ἔφυδρα χωρία καὶ αἱ διαρρύσεις τῶν ὑδάτων.

lambda 13 οὕτως Εὔπολις (II 575 M. = fr. 428 K.). λιγαίνειν · τὸ τύπτειν, ὥσπερ ἡμεῖς τὸ ξαίνειν.

lambda 15 λίγδος · χῶνος τρήματα ἔχων συνεχῆ, τῷ Δ παραπλήσια, δι’ ὧν ὁ χαλκὸς ἠθεῖται. λιμόν · ἀρρενικῶς οἱ Ἀττικοὶ τὴν λιμόν.

lambda 17 λίνον · 〈χορδὴν〉 Ἡρακλείδης ὁ Ποντικός (fr. 85 Voss e libris Π. μουσικῆς), ἐπειδὴ οἱ παλαιοὶ λίνοις ἀντὶ χορδῶν ἐχρῶντο. ἀλλὰ καὶ Ὅμηρος ἤδη χορδὰς ἐπιστάμενος (φ 407) λίνον καλεῖ (Σ 570). λίπα ἀλείψασθαι τὸ ἐλαίῳ ἀλείψασθαι λέγουσιν (Thuc.

lambda 18 IV 68, 5; cf. I 6, 5). λοῦσθαι λέγουσιν, οὐχὶ λούεσθαι, καὶ λούμενος, οὐχὶ λουόμενος.

lambda 19 [οὕτως] Ἀριστοφάνης (Pl. 658)· ‘ψυχρᾷ θαλάττῃ λούμενοσ‘. λυκοφιλίως · ὑπόπτως, ὑπούλως.

lambda 20 [οὕτω] Μένανδρος (fr. 697 Kö.)· ‘λυκοφίλιοι μέν εἰσιν αἱ διαλλαγαί‘. λώπη · περίβλημα.

lambda 22 λωπίζειν · γυμνοῦν. μά · ἀντὶ τοῦ ‘οὐ μά‘.

mu 1 τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μὲν [τοι] ἀντὶ τοῦ ‘ναί‘ τῷ ‘ναὶ 〈μά〉‘ χρῆται, ‘ναὶ μὰ τόδε σκῆπτρον‘ (Α 234), ὅτε ὄμνυσιν. ὅτε δὲ ἀπόμνυσί τις, συζεύγνυσι τῷ τῆς ἀποφάσεως, οἷον ‘οὐ μὰ γὰρ Ἀπόλλωνα‘ (Α 86) καὶ ἐν Ὀδυσσείᾳ (υ 339) ‘οὐ μὰ Ζῆν‘, Ἀγέλαε‘. ἡμεῖς δὲ τὸ ‘μά‘ ὡς μέρος λόγου ἀπομνύντες παραλαμβάνομεν ‘μὰ τὸν Δία‘ λέγοντες. ἔστι δὲ καὶ ἐπίρρημα ἐπευκτικόν. μάγαρον · οὐ μέγαρον, εἰς ὃ τὰ μυστικὰ ἱερὰ κατατίθενται. [5]

mu 2 οὕτω Μένανδρος fr. 870 Kö.). μαῖαν · ὡς ἡμεῖς τὴν ὀμφαλητόμον.

mu 3 [ἡ δὲ ὀμφαλητόμος Ἀττικὸν μᾶλλον ὄνομα] καὶ μαιεύεσθαι λεκτέον, οὐχὶ μαιοῦσθαι. μαλακὸς καὶ μαλθακός · ἑκατέρως.

mu 4 Θουκυδίδης δὲ ἄνευ τοῦ θ (e. g. II 18, 3) καὶ μαλακίζεσθαι (III 37, 2), οὐχὶ μαλθακίζεσθαι. μάλθη (cf.

mu 5 Crat. II 131 M. = fr. 204 K.)· μεμαλαγμένος κηρὸς ὁ ἐν τῷ γραμματείῳ, ἐν ᾧ γράφουσι διά τινος γραφείου σκληροῦ. μάμμην τὴν μητέρα καλοῦσι καὶ μαμμίαν καὶ τὸν πατέρα πάππαν καὶ παππίαν.

mu 7 μαμμίαν · Ἀττικοὶ τὴν μητέρα ἀπὸ τοῦ τὰ παιδία μαμμᾶν τὸ φαγεῖν λέγειν. μανδύας · Περσικὸν ὄνομα.

mu 8 ἔοικε δὲ φαινόλῃ. μάστακας · τὰς ἀκρίδας.

mu 9 Σοφοκλῆς ἐν Φινεῖ (fr. 650 N. 2 = 716 P.). μασταρύζειν · τὸ κακῶς μασᾶσθαι.

mu 11 μεθόριον · τὸ μεταξὺ τῶν ὅρων. μεῖραξ · ἡ θήλεια, μειράκιον καὶ μειρακίσκος ὁ ἄρσην.

mu 13 μεμφθῇ · τὸ μέμψηται. Θουκυδίδης (IV 85, 2). μεταίχμιον · ** μεταποιεῖσθαι · ἀντιποιεῖσθαι.

mu 15 Πλάτων Πολιτικῷ (289e)· ‘ἥκιστα βασιλικῆς μεταποιουμένους τέχνησ‘ [ἀντιποιουμένους]. Θουκυδίδης ἐν τῇ λοιμικῇ καταστάσει (II 51, 5)· ‘καὶ μάλισθ’ οἱ ἀρετῆς 〈τι〉 μεταποιούμενοι‘ [σημαίνει ἀντιποιούμενοι]. μέταυλος · κυρίως μὲν ἡ μέση θύρα· κεῖται δὲ ἀντὶ τοῦ μέσαυλος.

mu 17 μεταχειρίζειν · ἀντὶ τοῦ μεταχειρίζεσθαι. Θουκυδίδης τετάρτῃ (18, 4). μετρίως · τὸ συμμέτρως.

mu 18 Θουκυδίδης (e. g. II 35, 2). μήκων · 〈θηλυκῶς εἶδος βοτάνησ〉.

mu 19 Θουκυδίδης (IV 26, 8) [οὖν] ‘μήκωνα μεμελιτωμένην‘ φησίν. μῆλα · πάντα τὰ τετράποδα, ὅθεν καὶ πᾶσα βύρσα μηλωτὴ καλεῖται.

mu 21 μήτρα · τὸ μέσον τοῦ ξύλου, ὅ τινες ἐντεριώνην λέγουσιν. μνῆμα μὲν ὁ τάφος (Thuc.

mu 22 VI 54, 7), μνημεῖον δὲ πᾶν μνημόσυνον (Thuc. II 41, 4; cf. V 11, 1). οὕτω Θουκυδίδης. μολύβδαινα 〈ν〉 (cf.

mu 23* Ω 80)· μολυβδίδα. μόλυβδος · διὰ τοῦ υ καὶ δ 〈Ἀττικοί〉.

mu 25 μῦ · τὸ στοιχεῖον 〈Ἀττικοί〉, μῶ Δημόκριτος (Vors. 5 68 B 19). μυρμηκιᾶν (cf.

mu 26* Dinol. fr. 12 Kaib.)· τοὺς εἰς μυρμηκιὰν λαλήσαντας ἑλκοῦσθαι τὴν γλῶσσάν φασιν. μυστίλην · ψωμόν, κοῖλον ἄρτον, ὃν ἐποίουν, ἵνα ζωμὸν ἐν αὐτῷ ῥοφῶσιν, καὶ μυστιλᾶσθαι· τὸ οὕτως ἐσθίειν.

nu 1* νᾶπυ · σίνηπι. ναυλοχεῖν · ναῦς λοχᾶν καὶ ἐνεδρεύειν.

nu 2 Θουκυδίδης ἑβδόμῃ (4, 7). καὶ ναυλόχιον· ὁ τοιοῦτος τόπος, ᾧ λιμένες ἔνεισιν. ‘ναυλόχιον ἐν τῷ μέσῳ‘ Ἀριστοφάνης Βαβυλωνίοις (II 976 M. = fr. 78 K.). νέηκες (cf.

nu 3* N 391)· νεωστὶ ἠκονημένον. νέμεσθαι · ὡς τὸ πολὺ τὸ λαμβάνειν πρόσοδον παρὰ Θουκυδίδῃ (e.

nu 4 g. I 74, 3). Νέμεσις Ἀδράστεια · ἡ οἰκονομησαμένη παραδόξως τὰ κατὰ τὸν Ἄδραστον, οὗ μόνου τῶν ἡγεμόνων διασωθέντος ἐκ τοῦ Θηβαικοῦ πολέμου ἐνεμέσησε τὸ θεῖον.

nu 5 ἐν δὲ τοῖς ἐπιγόνοις τῶν ἐν Θήβαις πεσόντων ἀρχηγῶν Διομήδης μὲν καὶ Σθένελος καὶ οἱ λοιποὶ περιεγένοντο, μόνος δὲ ὁ ἐξ Ἀδράστου πέπτωκεν, καὶ οὕτω κατά τι δίκαιον ἀνισώθη τὸ δοκοῦν ἐκεῖ ἐλλελεῖφθαι πρὸς τῆς Νεμέσεως, καὶ ἐκλήθη αὕτη ἐντεῦθεν Ἀδράστεια. ἕτεροι δὲ τὴν Νέμεσιν Ἀδράστειαν εἶπον καλεῖσθαι διὰ τὸ τῆς θείας δίκης ἀναπόδραστον. νεοκαταστάτοις ἀνθρώποις φησὶ Θουκυδίδης (III 93, 2) ἀντὶ τοῦ νεωστὶ κατῳκισμένοις. [5]

nu 7 νεοκρᾶς · νεόκρατος καὶ χαλκοκρᾶς καὶ ἁλικρᾶς. νεοττός · λέκυθος ᾠοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

nu 9 νεοχμόν · νέον. νεωρεῖν · νεωφυλακεῖν.

nu 11 νεώρια καὶ νεωσοίκους · Ἀττικοί, νεῶνας Ἴωνες. ‘ νὴ τόν ‘ καὶ ‘ ναὶ μὰ τόν ‘· κατωμοτικὰ ταῦτα.

nu 12 ἀπωμοτικὰ δὲ τὸ ‘μὰ τόν‘ καὶ ‘οὐ μὰ τόν‘, ὥστε ἐσχάτη ἀκυρολογία τὸ λέγειν ‘μὰ τὸν Δία ποίησον‘. νυκτερινοὶ κύνες · οἱ λύκοι.

nu 14 νυός · καλεῖται μὲν ἐπίπαν ἡ τοῦ υἱοῦ γυνὴ τοῖς γονεῦσιν αὐτοῦ. χρῶνται δὲ τῷ ὀνόματι ποικίλως οἱ ποιηταί. νῶτον · οὐδετέρως λέγουσι τὸ νῶτον καὶ πληθυντικῶς τὰ νῶτα.

nu 16 νωτοπλῆγα · μαστιγίαν, τὸν εἰς τὰ νῶτα πληγὰς λαμβάνοντα. Φερεκράτης Κραπαταλοῖς (II 293 M. = fr. 89 K.)· ‘καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν‘. ξενίσεις · ξενοδοκίας.

xi 1 Θουκυδίδης (VI 46, 3). ξυήλην · ἣν ξυάλην λέγομεν.

xi 2 Ξενοφῶν Κύρου Ἀναβάσει (IV 7, 15)· ‘εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐστραμμένα. εἶχον δὲ καὶ κράνη καὶ παρὰ τὴν ζώνην μαχαίριον ὅσον ξυήλη 〈ν〉 Λακωνική 〈ν〉 ‘, ἣν Ἀττικοὶ κνῆστιν [Λάκωνες δὲ ξυήλην λέγουσι μόνον. ‘ἐπὶ δ’ αἴγειον κνῆ τυρόν κνήστι χαλκείῃ‘ (Λ 639s.) οἱ μὲν οὖν Ἀττικοὶ] 〈λέγουσιν, ὡς καὶ〉 τὸ ῥῆμα [οὕτως λέγουσιν] (Com. fr. ad. IV 658 M. = fr. ad. 722 K.)· ‘κἀπικνῆν κἀπεσθίειν‘, οἱ δὲ Λάκωνες τοὔνομα 〈μόνον〉 ξυήλην, ὡς καὶ Ξενοφῶν φησιν ἐν τῇ τετάρτῃ τῆς Ἀναβάσεως (8, 25), ὅτι Δρακόντιος ἔφυγεν ἐκ Σπάρτης παῖς ἔτι ὢν ἀποκτείνας ξυήλῃ Λακωνικῇ παῖδα. διὰ τοῦτο δὲ καὶ τὸ κνεῖν οἱ Δωριεῖς ξύειν λέγουσιν ὡς καὶ Σώφρων (fr. 149 Kaib.)· ‘αἴ τις τὸν ξύοντα ἀντιξύει‘, καὶ πάλιν (fr. 150 Kaib.)· ‘ὁ χοραγὸς ξύεται‘. ξυμβῇ ἡ πεῖρα · ἀντὶ τοῦ ἐπιτυχθῇ παρὰ Θουκυδίδῃ (III 3, 3). [10]

xi 4 ξύν · Θουκυδίδης (passim) ἀντὶ τοῦ ‘σύν‘ καὶ τὰ ἄλλα τὰ ὅμοια. οὕτω καὶ οἱ παλαιοὶ πάντες. ξυναλλαγῆναι · τὸ συμβῆναι.

xi 5 Θουκυδίδης (VIII 90, 2). ξυρήκης · ὁ ξυρήσιμος καὶ κουριῶν.

omicron 1 ὄαι · αἱ ἐπὶ τῶν ἱματίων. ὄβρια καὶ ὀβρίκαλα · 〈ὄβρια τὰ τῶν ὑστρίχων καὶ τῶν τοιούτων ἀγρίων ἔκγονα, ὀβρίκαλα〉 τὰ τῶν λεόντων καὶ λύκων σκύμνια.

omicron 2* Αἰσχύλος Δικτυουλκοῖς (fr. 48 N. 2 = Phil. 97 p. 80, 11 Siegm.) 〈καὶ Ἀγαμέμνονι (143)〉. ὀγκύλλεσθαι (Ar.

omicron 3 pax 465)· τὸ καυχᾶσθαι. ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς · τὸ λεγόμενον.

omicron 4 Ἀριστοφάνης Ἀναγύρῳ (II 963 M. = fr. 47 K.)· ‘ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύην‘. 〈 οἶαι Ἀττικοί, Ἴωνες δὲ〉 ὄϊαι διφθέραι, μηλωταί.

omicron 6* οἰκείους · τοὺς κατ’ ἐπιγαμίαν ἔξωθεν παρε 〈ι〉 σηγμένους. ὁ δὲ Μένανδρος ἐνίοτε (fr. 890 Kö.) ἐπὶ τῶν συγγενῶν λέγει. Ἀριστοφάνης ἐν τῷ Περὶ συγγενικῶν (p. 129 fr. 6 N.). οἰκέται (Ar.

omicron 7 nub. 5; Eur. fr. 927 N. 2 )· οἱ κατὰ τὴν οἰκίαν πάντες. οἰκόσιτος · ὁ ἑαυτὸν τρέφων μισθωτός.

omicron 9 οἰκότριψ · οἰκογενὴς δοῦλος. 〈 οἰός Ἀττικοί, Ἴωνες δὲ〉 ὄϊος· προβάτου.

omicron 11 οἶσθα · ἀντὶ τοῦ οἶδας. λέγεται [καὶ] χωρὶς τοῦς · μετὰ δὲ τοῦ ς ποτὲ ἢ διὰ μέτρον ἢ διὰ τὸ μὴ συγκροῦσαι φωνήεντα. οἰστροπλῆγα · τῇ μανίᾳ πεπληγότα.

omicron 13 ὀκτώπηχυ · τὸ ὀκτάπηχυ. Φιλήμων (IV 66 M. = fr. 212 K.). καὶ ὀκτώπους, ἡμεῖς 〈δὲ〉 ὀκτάπους. ὀλίγον · 〈Ἀττικῶσ〉.

omicron 14 τὸ δὲ ὀλίον ἢ βάρβαρον ἢ Ἰακόν. ὅμαιμος καὶ ὁμαίμων · ἀδελφὸς ἢ συγγενής [καὶ ὁμονήδυος].

omicron 16 ὁμαλές · ἐπὶ τοῦ πράγματος. ὁμαλόν· ἐπὶ τοῦ τόπου. Θουκυδίδης (V 65, 6)· ‘καὶ προελθόντες ἐς τὸ ὁμαλόν‘ καὶ πάλιν (V 65, 4)· ‘ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι‘. ὄμπνιον ὕδωρ (Call.

omicron 17* fr. 357 Pf.)· τὸ τρόφιμον καὶ πολύ. Ὄμπνιος · ἡ Δημήτηρ, αἰτία οὖσα τοῦ ἀναπνεῖν.

omicron 19

ὀμφαλητομία (Plat. Theaet. 149e)· ὅτε αἱ μαῖαι τὸν ὀμφαλὸν τοῦ βρέφους ἀποτέμνουσιν. καὶ αὐταὶ δὲ ὀμφαλητόμοι λέγονται. ὄμφαξ · θηλυκῶς 〈Ἀττικοί, ἀρσενικῶς Ἴωνεσ〉.

omicron 21 ὁμωχέτας · Θουκυδίδης (IV 97, 4) τοὺς συννάους θεοὺς καὶ ὁμο[ρ]ροφίους. Βοιωτιακὴ δὲ ἡ λέξις. ὄνειδος · ἀρσενικῶς καὶ οὐδετέρως.

omicron 23 ὄνος · τὸ ἐπάνω τοῦ μύλου. Ἀριστοτέλης δὲ (deest ap. Rose) κατ’ ἀμφοτέρων τάσσει. ὄνος ἐν μελίτταις · Κράτης Τόλμαις (II 247 M.

omicron 24 = fr. 36 K.), καὶ ‘ὄνος ἐν μύρῳ‘· παροιμία. Ὀπικίαν · τὴν τῶν Ὀπικῶν χώραν Θουκυδίδης (VI 4, 5).

omicron 26 ὀπισαμβώ (Soph. fr. 373 N. 2 = 406 P.)· ἡ εἰς τοὐπίσω ἀναχώρησις. ὀρθοπλήξ · ἵππος ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων.

omicron 27 Ἀριστοφάνης Ἀναγύρῳ (II 961 M. = fr. 43 K.)· 〈A〉 ‘ὡς δ’ ὀρθοπλήξ‘. — 〈B〉 ‘πέφυκε γὰρ δυσγάργαλισ‘. ὀρθοστάδιοι · οἱ στατοὶ χιτῶνες, οἱ γὰρ συρόμενοι συρτοί.

omicron 29 ὄροφος καὶ ὀροφή · ἡ στέγη. ὅσιον χωρίον · τὸ βέβηλον καὶ μὴ ἱερόν, εἰς ὃ ἔξεστιν εἰσιέναι.

omicron 30 Ἀριστοφάνης Λυσιστράτῃ (742s.)· ‘ὦ πότνι’ Εἰλείθυια, ἐπίσχες τοῦ τόκου, ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον‘. καὶ ὅσια χρήματα· τὰ μὴ ἱερά. λέγεται δὲ καὶ τὸ δίκαιον ὅσιον. ὄσσος · ὀφθαλμός. [5]

omicron 31 ἐν τῇ τραγῳδίᾳ (deest ap. Nauck) ἀρσενικῶς, παρ’ Ὁμήρῳ οὐδετέρως (e. g. N 616s.). ὄττα · φήμη, μαντεία διὰ κληδόνος.

omicron 32 καὶ ὀττεύεσθαι· τὸ κληδονίζεσθαι. οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας (fr.

omicron 33 com. ad. 277 K.). οὐδεὶς κομήτης ὅστις οὐ περαίνεται (fr.

omicron 34 com. ad. 14 K.). οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος (fr.

omicron 35 com. ad. 791 K.). οὐδὲν πρὸς ἔπος.

omicron 37 οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ (fr. com. ad. 598 K.). οὐδ’ ὑφ’ ἕνων Ἀττικοὶ ἀντὶ τοῦ ὑπ’ οὐδένων λέγουσιν ὑπερβιβάζοντες.

omicron 39 οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι νέκυν (trag. fr. ad. 331 N. 2 = com. fr. ad. 278 K.). οὐκ ἂν φθάνοιμι τὴν μάχαιραν παρακονῶν (IV 658 M.

omicron 40 = fr. ad. 599 K.). οὔπως · οὐδένα τρόπον.

omicron 41 καὶ Θουκυδίδης πέμπτῃ (15, 2) καὶ Ὅμηρος (γ 226)· ‘ὦ γέρον, οὔπως τοῦτο ἐγὼ τελέεσθαι ὀΐω.‘ οὐ ῥᾳδίως · ἀντὶ τοῦ κακῶς.

omicron 42 Θουκυδίδης (VI 57, 4)· ‘Ἀριστογείτων ... ὕστερον λαμφθεὶς οὐ ῥᾳδίως διετέθη· Ἁρμόδιος δ’ αὐτοῦ παραχρῆμα ἀπόλλυται‘. οὐρανία αἴξ · ᾗ οἱ εὐχόμενοι πάντως ἐπετύγχανον, ἴσως διὰ τὸ τὴν σελήνην αὐτῇ ἐποχεῖσθαι.

omicron 43 Κρατῖνος Χείρωσιν (II 160 s. M. = fr. 244 K.)· ‘αἲξ οὐρανία‘. ὄφλειν καὶ ῥόφειν · τὰς πρώτας συλλαβὰς τῶν τοιούτων οἱ Ἀττικοὶ ὀξύνουσιν.

omicron 45* ὀχμάζεται · συνέχεται, χειροῦται. παιδικά · ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις.

pi 1 παραδείγματα δὲ τοῦ ἐπὶ μὲν τῶν ἀρρένων τάττεσθαι πολλά, καὶ ἐν τοῖς Ἀχιλλέως δὲ Ἐρασταῖς δῆλον, ὡς οὕτως ἐξείληπται· ἐπιδόντων γάρ τι τῶν Σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν φησὶν ὁ Φοῖνιξ (Soph. fr. 157 N. 2 = 153 P.)· ‘παπαῖ, τὰ παιδίχ’, ὡς ὁρᾷς, ἀπώλεσασ‘. καὶ Κρατῖνος Πανόπταις (II 105 M. = fr. 152 K.)· ‘μισεῖς γὰρ πάνυ τὰς γυναῖκας, πρὸς παιδικὰ δὲ τρέπῃ νῦν‘. ὅτι δὲ ἐκάλουν οὕτω καὶ τὰ πρὸς τὰς γυναῖκας, Εὔπολίς 〈φησιν〉 · φησὶ γὰρ ὡς πρὸς αὐλητρίδα τις (II 561 M. = fr. 327 K.)· ‘ἐγὼ δὲ χαίρω πρός γε τοῖς σοῖς παιδικοῖσ‘. καὶ Κρατῖνος δὲ Ὥραις τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης φησὶν ἐπ’ αὐτοῦ (II 166 M. = fr. 258 K.)· ‘μακάριος τῶν παιδικῶν‘. οὐχὶ δὲ μόνον οἱ ἐρώμενοι καλοῦνται τῷ ὀνόματι, ἀλλὰ καὶ πάντες οἱ σπουδαζόμενοι πάνυ κατὰ μεταφορὰν τὴν ἀπ’ ἐκείνων. Πλάτων Φαίδρῳ (236b)· ‘ἐσπούδακας, ὦ Φαῖδρε, ὅτι σου τῶν παιδικῶν ἐπελαβόμην ἐρεσχηλῶν σε‘. λέγεται δὲ παιδικὸν καὶ τὸ παιδαριῶδες, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. παιδισκάριον · 〈κόριον ἢ κορίσκη〉 . [15]

pi 2 κοράσιον δὲ οὐ λέγεται, ἀλλὰ καὶ κεκωμῴδηκεν Φιλιππίδης (IV 477 M. = fr. 36 K.) ὡς ξενικόν. παιδίσκην · 〈νεανίδα Ἀττικοί〉 , θεράπαιναν 〈Ἴωνεσ〉 .

pi 4 παλαμναῖος · φονεὺς ἢ μιαρός. παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδροφονοῦντες παρὰ τὴν παλάμην. καὶ Ζεὺς Παλαμναῖος ὁ τοὺς τοιούτους τιμωρούμενος καὶ 〈Ζεὺσ〉 Προστρόπαιος ὁ προστρέπων τὸ ἄγος αὐτοῖς. πάλη · τὸ λεπτότατον τοῦ ἀλεύρου καὶ 〈ἡ〉 τέφρα.

pi 5 Φερεκράτης Ἰπνῷ (II 279 M. = fr. 60 K.)· ‘ἀνέπλησα τὠφθαλμὼ πάλης φυσῶν τὸ πῦρ‘. παλλακαί · τὸ μὲν ἀκριβὲς τῶν παιδίσκων αἱ νέαι, καθὰ καὶ τῶν ἀρρένων πάλλακες.

pi 6* ταύταις δὲ ἡττώμενοί ποτε διὰ τὴν ἀκμὴν οἱ δεσπόται ἀφιᾶσι καλεῖσθαι αὐτὰς οὕτως, κἂν μηκέτι νέαι ὦσιν. παλλάκια · οὐ παλλήκια.

pi 7 οἱ παῖδες. πάλλας καὶ πάλλαξ · ὁ νέος, καὶ πάλλαντες· οἱ νέοι, ὥς φησι Φιλιστ〈ε〉ίδης ἐν Συγγενικοῖς.

pi 8* ἐκ δὲ τοῦ πάλλακος ἡ παλλακὴ καὶ ἡ παλλακίς, ἡ κόρη. πανστρατιᾷ · οὕτω λέγει καὶ Θουκυδίδης (e.

pi 9 g. II 31, 1) καὶ οἱ ἄλλοι. πανσυδεί · παντελῶς.

pi 10 ὁ Θουκυδίδης η′ (1, 1)· ‘μὴ οὕτως τε πανσυδεὶ διεφθάρθαι‘, ὅπερ ἀγνοήσαντές τινες γράφουσι ‘πασσυδεί‘. ἔστι δὲ καὶ ἐν Αὐτομόλοις Φερεκράτους (II 265 M. = fr. 31 K.). παππίζειν · τὸ πάππαν καλεῖν.

pi 12 πάππος · αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες, μάσταξ δὲ αἱ ἐπὶ τοῦ ἄνω. παραβαλέσθαι · τὸ ἐξαπατῆσαι.

pi 13 Θουκυδίδης πρώτῃ (133). οὕτω καὶ Ὅμηρος (Δ 6)· ‘παραβλήδην ἀγορεύων‘. παραβεβάσθαι τὰς σπονδάς · τὸ παθητικὸν τοῦ παραβεβηκέναι, πάνυ ἀκολούθως.

pi 14 Θουκυδίδης (I 123, 2). παραιρήματα τῶν ἱματίων · Θουκυδίδης (IV 48, 3).

pi 16 παράλογον λέγουσιν ἀρσενικῶς οἵ τ’ ἄλλοι καὶ μάλιστα Θουκυδίδης, τὸ παράδοξον καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν, οἷον (I 78, 1)· ‘τοῦ πολέμου τὸν παράλογον‘ καὶ ὅτι ἐγένετο (II 85, 2) ‘πολὺς ὁ παράλογοσ‘. παραυτίκα ἔγγιόν τι τοῦ αὐτίκα σημαίνει καὶ ὑπογυώτερον.

pi 17 Θουκυδίδης (I 27, 1)· ‘εἰ δέ τις τὸ παραυτίκα μὴ ἐθέλοι ξυμμαχεῖν.‘ πάρδαλιν · Ἀττικοί, πόρδαλιν Ἴωνες· Ὅμηρος δὲ τὸ μὲν ζῷον διὰ τοῦ ο (cf.

pi 18 N 103; Φ 573; P 20 cum sch. A), τὴν δὲ δορὰν διὰ τοῦ α (I 17; K 29). παρέλυσαν · ἀπήλλαξαν, μετέστησαν.

pi 19 Θουκυδίδης ἑβδόμῃ (16, 1)· ‘τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆσ‘. παρεξειρεσίαν · τὸ ἔξω τῶν ἐρεσσόντων.

pi 20 ἐν τετάρτῃ (12, 1) Θουκυδίδης. παρεξηυλημένον 〈καὶ κατατετριμμένον]· τὸ ἀμυδρόν, ἀπὸ τῶν γλωσσίδων τῶν αὐλῶν τῶν κατατετριμμένων.

pi 21 Ἀριστοφάνης (Ach. 681)· ‘οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένουσ‘. παροκωχή · παροχὴ παρὰ Θουκυδίδῃ (VI 85, 2), ὡς ἡ ἀνοκωχὴ (cf.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 22 Ael. gl. α 144) καὶ διοκωχή (Thuc. III 87, 1). παρουσία · λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας, ὡς καὶ ἐν τῷ Πλάτωνος Φάωνι (II 677 M.

pi 23 = fr. 177 K.)· ‘〈 – 〉 ὡς καὶ νῦν ἔχομεν παρουσίασ‘. καὶ πολύ ἐστιν ἐπὶ τούτου παρ’ αὐτοῖς. καὶ ἐπὶ τοῦ παρεῖναι δὲ τάσσεται, ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους (fr. 421 N. 2 = 459 P.)· ‘τὴν παρουσίαν τῶν ἐγγὺς ὄντων‘. Θουκυδίδης ἐν τῇ πρώτῃ (128, 5)· ‘Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ‘. τούτῳ γὰρ ἐναντίον σημαίνει ἡ ἀπουσία. παρώπια καὶ ἀντήλια · τὰ παρὰ τὰς ὄψεις τῶν ἵππων δέρματα.

pi 25 πασπάλη · τὸ τυχόν, οἱ δὲ κέγχρον, οἱ δὲ κέγχρινα ἄλευρα. Ἱππῶναξ (fr. 18 D 2 c. n.)· ‘πασπαληφάγον γρόμφιν‘. παστά · ἔτνος ἀλφίτοις μεμ〈ε〉ιγμένον.

pi 27* παττάλῳ ἀνακρεμάσαι · ἀμελῆσαι. ἀπὸ παττάλου λαβεῖν· ἐπιμεληθῆναι. παῦ (Ar.

pi 28 equ. 821; pax 648)· τὸ ‘παῦσαι‘ λέγουσι μονοσυλλάβως. παυσικάπη · μηχάνημα τροχῷ ἐμφερές, δι’ οὗ τὸν τράχηλον διεῖρον καὶ τῶν ὑποζυγίων ὥστε μὴ ἐσθίειν καὶ τῶν ἀνθρώπων ὥστε μὴ δύνασθαι τὰς χεῖρας τῷ στόματι προσάγειν.

pi 30 πειρᾶν · τὸ λόγους περὶ συνουσίας προφέρειν καὶ πειραθῆναι τὸ ἀκοῦσαι λόγους τοιούτους. Θουκυδίδης (VI 54, 3)· ‘πειραθεὶς δὲ ὁ Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καταγορεύει τῷ Ἀριστογείτονι‘. σημαίνει 〈δὲ〉 ἡ λέξις καὶ τὸ ἄλλως διαπειρᾶσθαι. πελάτης · ὁ ἀντὶ τροφῶν ὑπηρετῶν καὶ προσπελάζων, ἀπὸ τοῦ πέλας ἤτοι ἐγγύς.

pi 31* 〈καὶ〉 πελάται· οἱ μισθῷ δουλεύοντες, οἷον ἔγγιστα διὰ πενίαν προσϊόντες. Ἀριστοτέλης (Athen. pol. II 2; cf. fr. 389 R.). πελιτνόν · Θουκυδίδης (II 49, 5) διὰ τοῦ τ .

pi 33 πέμπειν · τὸ πομπεύειν. Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ (fr. 428 Kö.)· ‘Μικρὰ Παναθήναι’ ἐπει 〈δὴ〉 δι’ ἀγορᾶς πέμποντά σε, Μοσχίων, μήτηρ ἑώρα τῆς κόρης ἐφ’ ἅρματοσ‘. καὶ πέμψαντες τὸ πομπεύσαντες παρὰ Θουκυδίδῃ (VI 56, 2). πενθερά · τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ καὶ πενθερὸς ὁ πατήρ.

pi 34 Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει· ὁ γοῦν Ἀλκμαίων τῷ Φηγεῖ φησι (fr. 72 N. 2 )· ‘χαῖρ’, ὦ γεραιέ· τήν τε παῖδ’ ἐκδοὺς ἐμοί γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ’ ἐμόσ‘. καὶ ὁ Πρωτεσίλαος τῷ Ἀκάστῳ φησίν (fr. 647 N. 2 )· ‘ἄξιος δ’ ἐμὸς γαμβρὸς κέκλησαι παῖδά μοι ξυνοικίσασ‘. Σοφοκλῆς δὲ τὸ ἔμπαλιν· εἶπε γὰρ πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ, 〈ᾗ〉 Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήστραν περὶ Ἀχιλλέως (fr. 284 N. 2 = 305 P.)· ‘σὺ δ’ ὦ μεγίστων τυγχάνουσα πενθερῶν‘ ἀντὶ τοῦ γαμβρῶν. πεντέπηχυ καὶ πεντέκλινον καὶ πεντέχαλκον καὶ πεντέμηνον καὶ πεντεσύριγγον ξύλον καὶ πάντα τὰ ὅμοια οὕτω λέγουσι διὰ τοῦ ε .

pi 35 ὅμως παρὰ τοῖς ὕστερον διὰ τοῦ α λέγεται, πεντάπηχυ καὶ τὰ λοιπὰ ὁμοίως. ὅμοιον δέ τι πάσχει καὶ ὁ ὀκτὼ ἀριθμός. περίνεως · τοὺς περιττοὺς καὶ ἔξω τῶν ὑπηρεσιῶν, ὡς λιπόνεως τοὺς λιποτάκτας.

pi 36 Θουκυδίδης (I 10, 4). περιοίσειν · τὸ περιέσεσθαι καὶ ἀνθέξειν.

pi 37 Θουκυδίδης ἑβδόμῃ (28, 3). σημαίνει καὶ τὸ ἀνοίσειν ἐκ τῆς νόσου. περιορᾶσθαι · καραδοκεῖν, ἀποθεωρεῖν, περισκέπτεσθαι, φροντίζειν.

pi 38 Θουκυδίδης (IV 73, 1)· ‘καὶ τοὺς Μεγαρέας περιορωμένους ποτέρων ἔσται ἡ νίκη‘. καὶ πάλιν (cf. II 43, 4) περιορωμένους τὸν πόλεμον λέγει. καὶ (IV 124, 4) [ὁ] ‘Βρασίδας τῆς Μένδης περιορώμενοσ‘. περιοργής [—ὡς περιχαρής—]· ὀργιζόμενος.

pi 39 Θουκυδίδης ἐν τετάρτῃ (130, 4) εἴρηκεν. περιρρηδής · ἐρραντισμένος αἵματι καὶ ἀμφιρρηδής.

pi 41 περιωπή καὶ πίσυνοι καὶ πύστεις · πάντα ταῦτα γλωττώδη παρὰ Θουκυδίδῃ. καλεῖ δὲ (IV 87, 1) περιωπὴν τὴν φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον ὡς Ὅμηρος (Ξ 8; Ψ 451). πηλός · 〈ἀρσενικῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 42* παρὰ δὲ Συρακουσίοις θηλυκῶσ〉 ἡ πηλὸς κατὰ τὸν γραμματικὸν Διόδωρον (cf. Co. RE V 709, 55). πιθανούς · τοὺς εὐπειθεῖς.

pi 43 Ξενοφῶν Κύρου παιδείᾳ (II 2, 10)· ‘πιθανοὶ δὲ οὕτως εἰσί τινες ὥστε πρὶν εἰδέναι τὸ πραττόμενον πρότερον πείθονται‘. ὥσπερ φοβεροὺς τοὺς φοβουμένους Θουκυδίδης (II 3, 4). πιθανώτατος τοῖς πολλοῖς (Thuc.

pi 44 VI 35, 2)· ὁ πιστικώτατος καὶ πείθων τοὺς πολλοὺς παρὰ Θουκυδίδῃ (l. l.). πλοκαμῖδα · Μένανδρος (fr.

pi 45 901 Kö.) καὶ οἱ ἄλλοι. ποιήσειας καὶ γράψειας καὶ ποιήσειαν καὶ γράψειαν Ἀττικοὶ μᾶλλον.

pi 46 οἱ Ἴωνες δὲ καὶ οὕτω καὶ ποιήσαις καὶ γράψαις 〈καὶ ποιήσαιεν καὶ γράψαιεν〉. πολεμησείειν · πολεμικῶς ἔχειν.

pi 47 Θουκυδίδης ἐν τῇ πρώτῃ (33, 3), ὡς καὶ τὸ Ὁμηρικόν (Ξ 37)· ‘τῶ ῥ’ οἵ γ’ ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο‘. οὕτω καὶ γαμησείειν Ἀττικοί φασι καὶ ἄλλας φωνὰς οὕτω σχηματίζουσιν. πολλ’ οἶδ’ ἀλώπηξ, ἀλλ’ ἐχῖνος ἓν μέγα (Archil.

pi 48 fr. 103 D 2 ). πολυτελές · δαπανηρόν.

pi 49 Θουκυδίδης (VII 27, 2)· ‘τὸ γὰρ ἔχειν αὐτοὺς πρὸς τὸν ἐκ τῆς Δεκελείας πόλεμον πολυτελὲς ἐφαίνετο‘. πομπήν · τὴν πέμψιν, ἀποστολήν.

pi 50 Θουκυδίδης τετάρτῃ (108, 1)· ‘ξύλων τε ναυπηγησίμων πομπῇ‘. πορισταί · οἱ τοὺς πόρους εἰσηγούμενοι δημαγωγοὶ ἐπὶ τῷ ἑαυτῶν λυσιτελεῖ (Thuc.

pi 51 VIII 48, 6). πόρπαξ · τὸ ἐντὸς τῆς ἀσπίδος πρόσθημα, δι’ οὗ τὴν χεῖρα διεῖρον.

pi 53 πούλυπον καὶ πουλύπουν · Ἀττικοί, πολύποδα Ἴωνες. πριαμωθῆναι (cf.

pi 54 IV 647 M. = fr. ad. 1123 K.)· ξυρηθῆναι. ἦν δὲ σκῶμμα, ἐπεὶ ὁ τραγικὸς Πρίαμος ξυρίας εἰσήγετο. πρὶν ἢ πτίσαι τὰ ἄλευρα · παροιμία.

pi 55 καὶ ‘πρὶν τοὺς ἰχθῦς ἑλεῖν σὺ τὴν ἅλμην κυκᾷσ‘ καὶ ‘πρὶν ἐσφάχθαι δέρεισ‘. προβάλλεσθαι · ἀντὶ τοῦ προτείνεσθαι.

pi 56 Θουκυδίδης (I 73, 2)· ‘τὰ δὲ Μηδικὰ καὶ ὅσα αὐτοὶ ξύνιστε, εἰ καὶ δι’ ὄχλου μᾶλλον ἔσται ἀεὶ προβαλλομένοισι‘. καὶ ὁ ῥήτωρ (Dem. XIX 2)· ‘τὴν ἀειλογίαν ὁρῶ ἀεὶ προβαλλομένουσ‘. πρόβασις (β 75)· ἡ τῶν βοσκημάτων κτῆσις.

pi 58 πρόβατα · πάντα τὰ τετράποδα. προδοσίκομπος · ὁ ὑποσχετικός, ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος, ἀλλὰ προδιδούς.

pi 60 προηγητής · Ἀττικῶς, προηγητήρ. ὁ τοῦ ζεύγους ἡγούμενος ἐν τοῖς γάμοις. προκαλεῖσθαι · οὐ τὸ εἰς ἀγῶνα καὶ μάχην, ἀλλὰ τὸ εἰς συμβάσεις καὶ συνθήκας.

pi 61 Θουκυδίδης (IV 19, 1). οἱ δὲ δικανικοὶ ἐπὶ πάσης προκλήσεως. προκεχωρηκότος · προεληλυθότος.

pi 62 Θουκυδίδης (cf. III 111, 1; VII 30, 1). πρόκνις · γένος ἰσχάδων.

pi 64 προπόλιος · ὁ θᾶττον καὶ πρὸ τοῦ δέοντος πολιὰς ἐσχηκώς. πρόσειλος · πρὸς τὴν τοῦ ἡλίου αὐγὴν τετραμμένος.

pi 66 προσέκειτο · ἀντὶ τοῦ προσεῖχε. Θουκυδίδης πρώτῃ (93, 7). πρόσισχε · τὸ πρόσεχε.

pi 67 Κρατῖνος (II 206 M. = fr. 286 K.)· ‘καὶ μὴ πρόσισχε βαρβάροισι βουκόλοισ‘. καὶ Εὔπολις (II 575 M. = fr. 386 K.)· ‘πρόσισχε τὸν νοῦν τῇδε‘. καὶ Θουκυδίδης τρίτῃ (22, 8)· ‘παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεωσ‘. οὕτω δὲ καὶ ὑπίσχομαι τὸ ὑπισχνοῦμαι οἵ τε τραγικοὶ (e. g. Aesch. Eum. 804) καὶ Ἀριστοφάνης (II 1187 M. = fr. 615 K.)· ‘τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι‘. προστρόπαιος · ὁ ἱκέτης, ὁ πρός τινα δεητικῶς τρεπόμενος. [5]

pi 69 προτέλεια 〈τὴν〉 ἡμέραν ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς ὡς τὴν θεὸν καὶ θυσίαν ἐπιτελοῦσιν. πρότριτα · τῇ τρίτῃ ἐπάνω ἡμέρᾳ.

pi 70 Θουκυδίδης ἐν δευτέρᾳ (34, 2) τὴν τρίτην πρὸ τῆς ἐκφορᾶς. προὔνεικον (IV 683 M.

pi 71 = fr. ad. 333 K.)· οὐ τὸν ἀκόλαστον, ἀλλὰ τὸν κομίζοντά τινα ἐξ ἀγορᾶς μισθοῦ. καὶ ἔγκειται τὸ ἐνεῖκα 〈ι〉 . πρωτόνεως καὶ ἀρχένεως καὶ ἄλλα πολλὰ ὁμοίως.

pi 72 καὶ περίνεως Θουκυδίδης πρώτῃ (10, 4). πτέον · διὰ τοῦ ε Ἀττικοί, οὐ πτύον.

pi 74 πτερνίδες · τὰ πυθμένια τῶν λεκανίων. πύνδαξ · πυθμήν.

pi 76 πυός · τὸ πρωτόρρυτον γάλα καὶ νοστιμώτατον. πυριάτη · θηλυκῶς τὸ πυρίεφθον· οὐχὶ πυρίατος οὐδὲ πυριατὴ ὀξυτόνως οὐδὲ πυρίεφθος.

rho 1 Ῥαδαμάνθυος ὅρκος · ὁ κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου. ‘οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν· θεοὺς δ’ ἐσίγων‘ Κρατῖνος Χείρωσιν (II 155 M. = fr. 231 K.). τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. ῥᾳδιουργός · ὁ κακοῦργος· καὶ ῥᾳδιουργία· ἡ περὶ πᾶν ὀλιγωρία καὶ εὐκαιρία καὶ θρασύτης.

rho 2 Ξενοφῶν δὲ (mem. II 1, 20) καὶ ἐπὶ εὐκολίας ἐχρήσατο τῇ λέξει. ῥάζειν καὶ ῥύζειν · τὸ ὑλακτεῖν.

rho 3 ἀπὸ τούτου δὲ ἐπὶ τοὺς πικραινομένους καὶ σκαιολογοῦντας μετηνέχθη. Ἕρμιππος Εὐρώπῃ (II 388 M. = fr. 24 K.)· ‘ῥύζων ἅπαντας ἀπέδομαι τοὺς δακτύλουσ‘. 〈καὶ〉 Κρατῖνος Δηλιάσιν (II 33 M. = fr. 25 K.)· ‘ἵνα σιωπῇ τῆς τέχνης ῥάζωσι τὸν λοιπὸν χρόνον‘, καὶ ἑξῆς· ‘ἔρραζε πρὸς τὴν γῆν 〈βαλών〉 , ὁ δ’ ἠσκάριζε κἀπέπαρδε.‘ ῥαθαπυγίζειν · τὸ πλατεῖ τῷ ποδὶ εἰς τὰ ἰσχία ῥαπίζειν.

rho 5 ῥαΐζειν · τὸ ἀπὸ νόσου ἀνασφάλλειν. ῥάξ · θηλυκῶς ἡ ῥάξ.

rho 6 ὁ δὲ ῥὼξ καὶ βαρβαρισμὸς καὶ σολοικισμός. ῥαχίαν · οἱ Ἀττικοὶ τὴν ἀκτὴν καὶ τὸν τόπον αὐτόν, ᾧ προσαράττει τὸ κῦμα.

rho 7 καὶ Θουκυδίδης οὕτως (IV 10, 5). οἱ δὲ Ἴωνες τὴν ἄμπωτιν καὶ τὴν ἀναχώρησιν τῆς θαλάττης. ῥᾴων · ὁ ἐκ νόσου ὑγιής.

rho 9 ῥία · ἀκρωτήρια ὄρθια καὶ τὰ εἰς θάλασσαν ἐγκείμενα. Θουκυδίδης (II 86, 5)· ‘οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν ῥίων ἐς τὴν εὐρυχωρίαν φοβούμενοι‘. ῥινᾶν · ἐξαπατᾶν.

rho 10 Μένανδρος (fr. 698 Kö.)· ‘ἔγωγ’ ἐπίσταμαι ῥινᾶν‘. ῥόας · ἄνευ τοῦ ι 〈Ἀττικοί〉 , ῥοιὰς Ἴωνες.

rho 11 Ἐπίλυκος (II 888 M. = fr. 2 K.). ῥόφειν · 〈Ἀττικῶσ〉 , ῥυφεῖν Ἰακῶς Ἱππῶναξ (fr.

rho 12 132 Bgk.). ῥοφήσομαι (Ar.

rho 13 vesp. 814)· ἀντὶ τοῦ ῥοφήσω λέγουσιν. ῥῶπος καὶ γέλγη · ὁ ποικίλος καὶ λεπτὸς φόρτος, ὅθεν ῥωποπώλης καὶ γελγοπώλης.

sigma 1 σᾶ · τὰ σῶα λέγουσι μονοσυλλάβως ἀπὸ τοῦ σῶα συναιροῦντες. Εὐριπίδης ἐν Ὑψιπύλῃ (fr. 762 N. 2 )· ‘εὔφημα καὶ σᾶ καὶ κατεσφραγισμένα‘. καὶ σᾶ ἡ σώα. Ἀριστοφάνης (II 1194 M. = fr. 631 K.)· ‘ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβοσ‘. καὶ σῶν τὸν σῶον καὶ σῷ οἱ σῶοι παρὰ Θουκυδίδῃ (III 34, 3 et I 74, 3)· 〈οἱ δὲ συνηθέστερον γράφουσι〉 δισυλλάβως σῶοι. σάθων · ὑποκόρισμα παιδίων ἀρρένων.

sigma 2 οὕτω Τηλεκλείδης (II 377 M. = fr. 65 K.). σακεύουσι · τὸ ὑλίζουσι παρ’ Ἡροδότῳ (IV 23, 3).

sigma 4 σάκος οἱ Ἀττικοὶ λέγουσι διὰ τοῦ ἑνὸς κ . σαλάμβη · ὀπή, δι’ ἧς τὸ σέλας βαίνει, καπνοδόκη.

sigma 5 οὕτω Σοφοκλῆς (fr. 989 N. 2 = 1093 P.). σαμφόρας (Ar.

sigma 6

Eulogikon public reading copy · View original HTML at eulogikon.org

nub. 122)· ἵππος χαρακτῆρα ἔχων ἐγκεκαυμένον σῖγμα, ὅπερ οἱ Δωριεῖς ἔλεγον σάν· 〈οὕτ〉ως κοππατίας καὶ βουκέφαλος. σανίς · καὶ ἐν ᾗ τοὺς κακούργους ἔδουν καὶ ἐν ᾗ τὰς δίκας ἐνεχάραττον· τὸ μὲν ἐν Θεσμοφοριαζούσαις (940), τὸ δὲ ἐν Σφηξὶ (848) δεδήλωται.

sigma 8 σάνναν · τὸν μωρόν. οὕτω Κρατῖνος (II 187 M. = fr. 337 K.). Σαρδάνιος γέλως · ὁ καθ’ ὑπόκρισιν ἀπὸ τοῦ σεσηρέναι τοὺς ὀδόντας.

sigma 10 σειριᾷ · φλεγμαίνει, καροῦται. σειράζει · ἀντὶ τοῦ στρέφει, καὶ 〈σειριάζει〉 · ἀστράπτει, τινάσσει.

sigma 12 σέσωται καὶ σεσωμένος · οἱ παλαιοὶ ἄνευ τοῦ ς . καὶ ‘διεζωμένοι‘ φησὶ Θουκυδίδης (I 6, 5). οἱ δὲ νεώτεροι σέσωσμαι. ἐπ’ ἐνίων 〈γὰρ〉 ἁπλῶς παραλείπουσι τὸς · κεκλειμένον, πεπρημένον. σηκίδες · τὰ οἰκογενῆ παιδισκάρια.

sigma 13 κυρίως δὲ σηκύλη καὶ σηκὶς ἡ ἐν ἀγρῷ ταμιεῖον φυλάττουσα. σίαλον · 〈οὐδετέρως Ἀττικοί〉 ** 〈 σῖγμα 〉 · τὰ σῖγμα δεῖ λέγειν, ἀλλ’ οὐχὶ τὰ σίγματα, καὶ γὰρ ἄκλιτα τῶν στοιχείων τὰ ὀνόματα· διὸ καὶ τὸ παρὰ τῷ Ξενοφῶντι ἐν τοῖς Ἑλληνικοῖς εἰρημένον (IV 4, 10) οὐχ ὑφ’ ἓν ‘τὰ σίγματα τῶν ἀσπίδων‘ ἀναγνωστέον, ἀλλὰ δισυλλάβως μὲν ‘τὰ σῖγμα‘ καὶ ἀπ’ ἄλλης ἀρχῆς ‘τὰ τῶν ἀσπίδων‘ κατὰ διάστασιν .

sigma 15 .. (298) οἱ δὲ κωμικοὶ μάλιστα ἐκκλίνουσι πᾶν τὸ ἔχον σιγμὸν καὶ ἐξήχησιν καὶ ψόφον, ἃ τῇ τραγωδίᾳ μᾶλλον ἂν ἁρμόττοι. διὸ καὶ διασύροντες τοὺς τραγικοὺς ὡς μὴ τοιούτους προσπαίζουσιν ἐν τῷ (Plat. com. II 626 M. = fr. 30 K.)· ‘εὖ γέ σοι γένοιθ’, ἡμᾶς ὅτι ἔσωσας ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου‘. καὶ Περικλέα φασὶ πρῶτον ἐκκλῖναι τὸν διὰ τοῦ ς σχηματισμὸν τοῦ στόματος ὡς ἀπρεπῆ καὶ πλατύν, γυμναζόμενον ἀεὶ πρὸς τὸ κάτοπτρον ... Θετταλοὶ 〈δὲ〉 καὶ Κιτιεῖς οὐχ οἱ κατὰ Φοινίκην, ἀλλ’ οἱ περὶ Κύπρον, ὧν πόλις Κίτιον, ‘θάλατταν‘ ἔλεγον καὶ ‘πίτταν‘ καὶ ‘καρδιώττειν‘ καὶ ‘Ματταλίαν‘ καὶ τοιαῦτα, ὅσα οὐδαμοῦ Ἀττικὰ νομίζονται, ἀλλὰ τῶν γειτόνων Βοιωτῶν, τῷ μήτε Ὅμηρον μήτε τραγικοὺς μήτε Θουκυδίδην ἢ Πλάτωνα κεχρῆσθαι αὐτοῖς ... καὶ Ὅμηρος δὲ ποιητὴς ὢν καὶ ῥαψῳδῶν προσεῖχεν 〈οὐκ〉 ἄλλως τῷ ὄγκῳ. διὸ καὶ ἀρχόμενος τῆς ποιήσεως οὐκ ἰωνίζει οὐδὲ ‘θεή‘ (A 1) λέγει, ἵνα μὴ συστείλας τὰ χείλη στενὸν τὸν ὄγκον ποιοίη. Σιληνοί · δαίμονές τινες κομψοὶ τὰ εἰς ὄρχησιν καὶ εἰς Διονύσου τελετάς, οἱ Σάτυροι. [15]

sigma 16 Εὔπολις (II 575 M. = fr. 443 K.). σιλλαίνει · μυλλαίνει, διὰ τῶν ὀφθαλμῶν σκώπτει καὶ μυλλίζει.

sigma 18 σίλλοι · εἶδος ποιήσεως κωμικῆς, καὶ σιλλογράφοι οἱ ταύτην μετιόντες. σιλλοῦν · τοὺς ὀφθαλμοὺς ἠρέμα παραφέρειν ἐν τῷ διαφαυλίζειν καὶ διασύρειν.

sigma 19 οὕτως Ἄρχιππος (II 729 M. = fr. 52 K.). σῖτος · πᾶς ὁ σιτικὸς καρπός, οὐχ ὁ πυρὸς μόνον.

sigma 20 καὶ αὐτὰ τὰ σιτία. Θουκυδίδης τετάρτῃ (26, 3)· ‘καὶ τῶν νεῶν οὐκ ἐχουσῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο, αἱ δὲ μετέωροι ὥρμουν‘. σίτου ἐκβολή · Θουκυδίδης (IV 1, 1), ὅταν ὁ στάχυς τῆς κάλυκος ἐκφύηται, οὐχ ὅταν ἐκ τῆς γῆς ἀναδιδῶται τὰ σπέρματα.

sigma 22 σκαιεμβατεῖν (com. fr. ad. 1143 K.)· τὸ σκαιῶς καὶ ἀρρύθμως ἐμβαίνειν ὀρχούμενον, τὸ ἐν τῇ συνηθείᾳ κενεμβατεῖν. σκάφιον · κουρὰ περιτρόχαλος.

sigma 23 [οὕτως] Ἀριστοφάνης (Thesm. 838)· ‘σκάφιον ἀποκεκαρμένην‘ καὶ (fr. ad. 34 Dem.) σκαφιόκουρον· τὸν κείροντα. σκιμβάζειν · χωλεύειν, καὶ ἀσκωλίζειν τὸ αὐτὸ τοῦτο.

sigma 24 οὕτως Ἀριστοφάνης (II 1219 M. = fr. 853 K.). σκόλλυς · ** σκότος καὶ σκότον · ἑκατέρως.

sigma 26 οὕτως Ἀμειψίας (II 713 M. = fr. 37 K.). σκῦλα λέγουσιν ὡς ἡμεῖς (cf.

sigma 27 e. g. Thuc. III 57, 1). καὶ σκυλεύματα Θουκυδίδης (IV 44, 5). σκυτοδέψης · δερματομαλάκτης καὶ βυρσοδέψης.

sigma 29 σκυτοτόμος · σκυτεύς, λωροτόμος. σορέλλη · σκῶμμα εἰς τοὺς γέροντας παρὰ τὴν σορόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sigma 30 οὕτως Ἀριστοφάνης (II 1033 M. = fr. 198 K.). στάδια καὶ σταδίους ἑκατέρως λέγουσιν.

sigma 31 ὁ Θουκυδίδης δὲ σταδίους ὡς ἐπὶ τὸ πᾶν· ἅπαξ δὲ μόνον στάδια εἴρηκεν ἐν ζ′ (VII 78, 4)· ‘ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια μέλλων ἰέναι ...‘ στάς (cf.

sigma 32* Eupol. II 561 M. = fr. 332 K.)· ἄνευ τοῦ ι ὁ Ἀττικὸς λέγει· ὁ δὲ Ἴων σταῖς. στεγανόμιον · Ἀττικοὶ τὸν μισθὸν τοῦ πανδοχείου, ἡμεῖς δὲ τὸν τόπον, ἐν ᾧ ἑστιῶνται.

sigma 34 στίγων · ὁ στιγματίας. 〈Ἀριστοφάνησ〉 Βαβυλωνίοις (II 974 M. = fr. 97 K.). στλεγγίς · ἡ ξύστρα, καὶ στλεγγιζόμενος· ἀποξυόμενος.

sigma 35 Ἀριστοφάνης Γήρᾳ (II 1002 M. = fr. 139 K.)· ‘εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ’ ἔχοντα‘. καὶ Δαιταλεῦσιν (II 1042 M. = fr. 207 K.)· ‘οὐδ’ ἔστιν αὐτῇ στλεγγὶς οὐδὲ λήκυθοσ‘. καλεῖται δὲ στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. στρεβλόν τὸν στραβὸν λέγουσιν.

sigma 36 οὕτως Εὔπολις (II 501 M. = fr. 182 K.). στρουθίζων · τρίζων.

sigma 37 Ἀριστοφάνης (IV 625 M. = fr. ad. 1155 K.). στρουθοὶ ἄγριαι · αἱ στρουθοκάμηλοι.

sigma 39 στρωματόδεσμα · 〈οὐδετέρως Ἀττικοί〉 , ἃ καλοῦμεν ἐν τῇ συνηθείᾳ στρωματεῖς. συγκομιδή · ὡς ἐπὶ καρπῶν.

sigma 40 Θουκυδίδης ἐν τρίτῃ (15, 2)· ‘καὶ ἐν συγκομιδῇ καρποῦ ἦσαν‘. καὶ Λυσίας ἐν τῷ Πρὸς Ξενοφῶντα (fr. 206 Thalh.)· ‘συγκομίσας δ’ ὀπώραν καὶ ἀποδόμενος τὸν ἀγρόν‘. συηνία καὶ ὑηνία · ἀμαθία, σκαιότης παρὰ Φερεκράτει (II 344 M.

sigma 41 = fr. 237 K.). καὶ συηνεῖν Πλάτων ὁ φιλόσοφος (Theaet. 166c) τὸ ἀμαθῶς ἀναστρέφεσθαι καὶ συῶδές τι ποιεῖν. σὺν τῷ κυνὶ καὶ τὸν ἱμάντα .

sigma 43 σφαγάς · τὰς κατακλεῖδας. Θουκυδίδης (IV 48, 3)· ‘καὶ ὀϊστοὺς καθίεσαν ἐς τὰς σφαγάσ‘. σῷ · μονοσυλλάβως οἱ σῶοι καὶ παρὰ Θουκυδίδῃ (I 74, 3).

sigma 44 οἱ δὲ συνηθέστερον γράφουσι σῶοι. σῶς · εὕρηται καὶ θηλυκῶς.

sigma 45 Ἀριστοφάνης (II 1194 M. = fr. 658 K.)· ‘οὕτω γὰρ ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη‘. Ταντάλου τάλαντα · παροιμία 〈ἐπὶ τῶν πλουσίων〉 , ἐπεὶ πλούσιός ποτε ἦν 〈Τάνταλοσ〉 , ὡς δηλοῖ Φιλήμων εἰπών (IV 61 M.

tau 1 = fr. 189 K.)· ‘Κροίσῳ λαλῶ σοι καὶ Μίδᾳ καὶ Ταντάλῳ‘. ἢ καὶ ἀπὸ τῆς τοῦ ὀνόματος ὁμοιότητος, ὡς ἀγαθίδες ἀγαθίδων ἢ ἀγαθίδες ἀγαθῶν (Ael. gl. α 12). Τάρας · 〈ἀρσενικῶς καὶ θηλυκῶσ〉 .

tau 3 τάριχος · οὐδετέρως οἱ Ἀττικοὶ ὡς ἐπὶ τὸ πολύ, ἐπ’ ἔλαττον δὲ καὶ ἀρσενικῶς. Μένανδρος (Epitr. fr. 5 Kö.)· ‘ἐπέπασα ἐπὶ τὸ τάριχος ἅλασ‘. Φιλιππίδης (IV 478 M. = fr. 34 K.)· ‘τυρούς 〈τε〉 καὶ ταρίχουσ‘. Ἀριστοφάνης (II 1193 M. = fr. 630 K.)· ‘ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι‘. ὁ αὐτὸς (II 1030 M. = fr. 200 K.)· ‘ 〈τὸν〉 τάριχον τουτον 〈ί〉 πλύνω 〈ν〉 ‘. ταρροὶ καὶ ταρσοί · τάλαροι καὶ τὰ πλατύσματα τῶν κωπῶν, αὐτὸ τὸ πτέρωμα 〈τῶν νεῶν〉 .

tau 4 οὕτω Θουκυδίδης (II 76, 1; VII 40, 5). τέλεον καὶ [ τὸ] τέλειον · τελείους τοὺς γεγαμηκότας καλοῦσι, καὶ τελεωθῆναι τὸ γῆμαι.

tau 6* τελετή · θυσία μυστηριώδης. τέλος οἱ Ἀττικοὶ τάττουσι καὶ ἀντὶ τάξεως καὶ τάγματος καὶ δαπάνης, ἔνθεν ὁ πολυτελὴς καὶ εὐτελὴς καὶ ὁ συντελής, καὶ τὸ εἰς γάμους ἀνάλωμα, ὅθεν τὰ προτέλεια.

tau 7 λέγεται καὶ ἀντὶ ἀρχῆς. Θουκυδίδης (VII 73, 1)· ‘προσελθὼν δὲ τοῖς 〈ἐν〉 τέλει οὖσιν‘, ὡς εἰ ἔφη ‘τοῖς ἐν ἀρχῇ οὖσι‘. σημαίνει καὶ τὸ ἀποτέλεσμα τῶν πραγμάτων, καὶ τὸ εἰσπραττόμενον ὑπὸ τῶν τελωνῶν χρέος ‘τέλοσ‘ καλεῖται. τέμαχος · οὐδετέρως 〈Ἀττικοί〉 ** .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

tau 9 τετρῶρον 〈ἅρμα · προπερισπωμένως ἀπὸ τοῦ τετράορον〉 · τέθριππον ἤγουν τετραΐππον. τεττιγοφόροι · οἱ Ἀθηναῖοι.

tau 10 τέττιγας γὰρ ἐφόρουν χρυσοῦς, σύμβολον τοῦ γηγενεῖς εἶναι. Θουκυδίδης πρώτῃ (6, 3)· ‘καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν‘. ἢ ὅτι μουσικοί· μουσικὸς γὰρ ὁ τέττιξ. γηγενεῖς δὲ ὅτι καὶ Ἐρεχθεύς, ὁ οἰκιστὴς τῶν Ἀθηνῶν, ἀπὸ τῆς γῆς ἐτέχθη. τευτάζειν · πραγματεύεσθαι ἢ σκευωρεῖσθαι ἢ στραγγεύεσθαι καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ.

tau 11* Λυκόφρων οὕτω (fr. 134 Strecker) καὶ Δίδυμος (p. 46, fr. 31 Schm.) προσθείς, ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. Ἡρακλέων δὲ καταμεμψάμενος Λυκόφρονά φησιν (p. 7 Berndt) εἶναι τὸ ἐπιστρεφῶς τι πράττειν ἢ ἐνεργεῖν. καὶ Ἀρτεμίδωρος (cf. Wentz. RE. s. v. nr. 31) τὸ φροντίζειν. Φρύνιχος Μύσταις (II 594 M. = fr. 36 K.)· ‘μάστιγα δ’ ἐν χεροῖν ἔχων ἐτεύτασεν‘. Πλάτων Ξαντρίαις (II 646 M. = fr. 89 K.)· ‘ἦν δὴ θόρυβος τευταζόντων‘, ἀντὶ τοῦ πραγματευομένων ἢ διατριβόντων· καὶ ἐν Τιμαίῳ (90 b)· ‘τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας τετευτακότι‘, οἷον διατετριφότι· γράφεται καὶ τεταυτακότι. Τηλεκλείδης (II 375 M. = fr. 36 K.)· ‘πάντες δὲ τευτάζουσιν οἱ διάκονοι‘, ἀντὶ τοῦ πραγματεύονται, σκευωροῦνται. Φερεκράτης (II 354 M. = fr. 184 K.)· ‘ὁ δὲ παῖδα καλεῖ καὶ τευτάζει τούτῳ δεῖπνον παραθεῖναι‘. σημαίνει καὶ τὸ σπουδάζειν, Πολιτείας ζ′ (521 e), καὶ τὸ ἡσυχάζειν. καὶ τευτάζων (auct. ignot.)· τὸ αὐτὸ ἀεὶ λέγων, φλυαρῶν. τηθαλλαδοῦς (fr.

tau 12 com. ad. 17 K.)· γυναικοτρόφος, ὑπὸ τήθῃ τεθραμμένος, ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν. τήθη · μάμμη, ἡ πατρὸς ἢ μητρὸς μήτηρ.

tau 14 τηθίς · θεία, πατρὸς ἢ μητρὸς ἀδελφή. τὴν γλαῦκα τωθάζουσι · παροιμία.

tau 16 τὴν ἐμὴν κάμνεις νόσον (fr. trag. ad. 334 N. 2 ; fr. com. ad. 1316 K.)· παροιμία ὡς ἡ τοιαύτη· ‘ταὐτὸν ἕλκομεν ζυγόν‘. τιγγάβαρι · τὸ κιννάβαρι Ἀττικοί.

tau 17 Διοκλῆς (II 840 M. = fr. 9 K.)· ‘ἡ μίλτος οἶμαι καὶ τὸ τιγγάβαρι‘. τίτθαι · αἱ τοὺς τιτθοὺς παρέχουσαι, τροφοὶ δὲ καὶ τιθηνοὶ αἱ τὸν ἄλλον πόνον ἀναδεχόμεναι, αἵτινες περιφέρουσι καὶ προσπαίζουσι καὶ τῆς ἄλλης τροφῆς τῆς μετὰ τὸν ἀπογαλακτισμὸν ἐπιμέλειαν ἔχουσιν.

tau 19 τιτθοί · μαστοί. τίτις · βραχὺ ὀρνίθιον ἢ καὶ πᾶν μικρὸν ὀρνίθιον.

tau 21 τὸν ἀφ’ ἱερᾶς · γραμμὴ ἐν τῇ τῶν πεττῶν παιδιᾷ. Μένανδρος Καταψευδομένῳ (fr. 235 Kö.). τραυματισθῆναι · ἀντὶ τοῦ τρωθῆναι.

tau 22 Θουκυδίδης τετάρτῃ (12, 1). τρία καὶ δύο · ἐπὶ τῆς κράσεως τοῦ οἴνου.

tau 23 Ἀριστοφάνης Ἱππεῦσιν (1187)· ‘ἔχε 〈καὶ〉 πιεῖν κεκραμένον τρία καὶ δύο‘. Ἡσίοδος (opp. 596)· ‘τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἶνον‘. Εὔπολις Αἰξίν (II 429 M. = fr. 8 K.)· ‘Διόνυσε χαῖρε· μή τι πέντε καὶ δύο;‘ τοιοῦτο καὶ τὸ παροιμιακόν (fr. com. ad. 604 K.)· ‘ 〈ἢ〉 πέντε πίνειν ἢ τρί’, ἢ μὴ τέτταρα‘. τὸ μὲν γὰρ πέντε ἐστὶ τρία καὶ δύο, τὸ δὲ τρία ἥμισυ καὶ διπλάσιον, τὸ δὲ τέτταρα ἴσον ἴσῳ. τριακοντούτης · παροξυτονεῖται.

tau 24 κοινὸν δέ ἐστιν ἀμφοτέρων τῶν γενῶν, καὶ τὰ πλήθη τριακοντούτεις. καὶ παρὰ Θουκυδίδῃ (I 23, 4) τριακοντούτεις σπονδαὶ εἴρηνται. καὶ Ἀριστοφάνης (cf. equ. 1388s.). τρίτου κρατῆρος (Soph.

tau 25 fr. 392 N. 2 = 425 P.)· τοῦ σωτῆρος, ὃν καὶ τέλειον ἔλεγον. τὸν μὲν πρῶτον Ὀλυμπίων φασί, τὸν δὲ δεύτερον ἡρώων, ‘τὸν δὲ τρίτον Ὀλυμπικῶς τῷ Σωτῆρι τε καὶ Ὀλυμπίῳ‘ Πλάτων Πολιτείᾳ (583 b). τρυσίππιον · ἔγκαυμα ἵππου γεγηρακότος ἐπὶ τῆς γνάθου τροχῷ ὅμοιον.

tau 26 Εὔπολις (II 555 M. = fr. 318 K.)· ‘ἀλλ’ ὥσπερ ἵππῳ μοὐπιβαλεῖς τρυσίππιον‘. τρύχνον · τὴν πόαν.

tau 27*

θηλυκῶς λέγουσι τὴν τρύχνον, οὐ τὸν τρύχνον. [σὺν τῷ ς δὲ ‘στρύχνον‘ οὐδαμοῦ εὗρον] ... καὶ παρὰ τὴν παροιμίαν τὴν ‘ἁπαλώτερος τρύχνου‘ παρῳδῶν ὁ κωμικός φησιν (IV 660 M. = fr. ad. 605 K.)· ‘ἤδη γάρ εἰμι μουσικώτερος τρύχνου‘. τύλη · τὸ ἐπὶ τῶν τενόντων 〈αὐχενίων〉 φῦμα.

tau 28 Ἀριστοφάνης (Ach. 860; 954). τυμβογέροντες · πέμπτη ἡλικία γερόντων, ὡς καὶ Θεόφραστος (deest ap.

tau 29 Wi.). παραπλῆγες καὶ τῇ διανοίᾳ παρηλλαγμένοι, 〈Ἀριστοφάνης (IV 680 M. = fr. ad. 1172 K.)〉 . τύρβη · Ἀττικῶς, σύρβη κοινῶς.

tau 31* τυρεύεται καὶ τυρεῖται (com. fr. ad. 1173 K.)· συνίσταται καὶ συμπήγνυται. τυρευθέντα (ib.

tau 32* )· κινηθέντα, ταραχθέντα. τυφεδανός · τετυφωμένος καὶ ἀσθενὴς οἷον καπνός.

tau 34 τῶν γὰρ ὑστάτων χάρις · παροιμία. τῶν δ’ ὄνων οὔ μοι μέλει.

tau 36 τῶν δυνατῶν τι κέλευ’, οὐ γὰρ παρὰ Κενταύροισι. ὕαλος · διὰ τοῦ α , οὐχὶ ὕελος, καὶ θηλυκῶς ἡ ὕαλος, καὶ ὑάλινον.

upsilon 1 Ἀριστοφάνης Ἀχαρνεῦσιν (74)· ‘ἐξ ὑαλίνων ποτηρίων καὶ χρυσίδων‘. ὑγιέστερος ὄμφακος (com.

upsilon 2 fr. ad. 910 K.)· παροιμία ὥσπερ καὶ ‘ὑγιέστερος Κρότωνοσ‘. πολλοὶ γὰρ Κροτωνιᾶται ἀσκηταί. καὶ ‘ὑγιέστερος κολοκύντησ‘. ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις (AP.

upsilon 3 XIII 29; cf. Crat. II 119 M. = fr. 199 K.)· τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος, οἱ μὲν Ἀσκληπιάδου, οἱ δὲ Θεαιτήτου φασίν. ὑηνῶν· σκαιῶν καὶ ἀμαθῶν [καὶ ὑηνία· σκαιότης καὶ ἀμαθία].

upsilon 4 οὕτω Καλλίας (II 742 M. = fr. 31 K.). ὑπάγειν εἰς δίκην · τὸ ἄγειν.

upsilon 5 καὶ Θουκυδίδης (III 70, 3) καὶ ἄλλοι. ὑπαγωγάς · τὰς ἀναχωρήσεις.

upsilon 6 ‘διώξεις τε καὶ ὑπαγωγάσ‘ φησὶ Θουκυδίδης (III 97, 3). ὑπαντάξ · ἐξ ἐναντίας.

upsilon 7 Ἀριστοφάνης (II 1187 M. = fr. 616 K.)· ‘ἔφευγε· κἀγὼ τῆς ὑπαντὰξ εἰχόμην‘. ὑπείπομεν · ἀντὶ τοῦ προείπομεν.

upsilon 8 〈Θουκυδίδης (I 35, 5)〉 . ὑπέρχρεως · κατάχρεως.

upsilon 10 ὑπόγραμμα · ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι. καὶ ὑπογεγραμμένη· ἐστιβισμένη. Ἀριστοφάνης (II 1221 M. = fr. 880 K.). ὑποκρίνεσθαι · τὸ ἀποκρίνεσθαι οἱ παλαιοί.

upsilon 11 καὶ ὁ ὑποκριτὴς ἐντεῦθεν ὁ ἀποκρινόμενος τῷ χορῷ. Θουκυδίδης ἑβδόμῃ (44, 5)· ‘εἰ δ’ οὐδὲν ὑπεκρίνοντο, διεφθείροντο‘. καὶ οἱ Ἴωνες οὕτως, 〈ὡσ〉 Ἡρόδοτος (VIII 144, 5)· ‘οἱ μὲν ταῦτα ὑποκρινάμενοι Ἀθηναίων ἀπηλλάττοντο‘. ὑπόξυλος · κίβδηλος, ὡς ὑπόχαλκος.

upsilon 12 Μένανδρος Περινθίᾳ (fr. 7 Kö.)· ‘οὐδ’ αὐτός εἰμι σὺν θεοῖς ὑπόξυλοσ‘, οἷον κίβδηλος καὶ οὐ γνήσιος οὐδὲ ἀληθής [ἀπὸ τῶν ξυλίνων καὶ περιηργυρωμένων σκευῶν]. ὑποσακίζειν · ὑπεξαίρειν, ἀναλοῦν.

upsilon 13 ** (deest ap. M.—K.—D. cf. IV 667 M. = fr. ad. 645 K.)· ‘χρήμαθ’ ὑποσακιζόμενοι‘. καὶ ὑποσακίζειν τῆς ὁδοῦ· τὸ προκόπτειν. ὑποτίτθια · ὑπομάζια παιδία, καὶ ὑπότιτθον ὁμοίως· τὸ ὑπομάζιον.

phi 1 φάλαγξ · θηλυκῶς ὁ ἀράχνης. Πλάτων Ἑλλάδι (II 620 M. = fr. 22 K.) ‘εἴξασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ 〈ν〉 τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει‘. φαρμακός · τὸ κάθαρμα, βραχέως.

phi 2 οἱ δὲ Ἴωνες ἐκτείνοντες λέγουσι φαρμ α κόν. οὗτοι γὰρ διὰ τὴν τῶν βαρβάρων παροίκησιν ἐλυμήναντο τῆς διαλέκτου τὸ πάτριον, τὰ μέτρα, τοὺς χρόνους. δηλοῖ καὶ Ἱππῶναξ (fr. 9 et 11 D 2 ). φάρυγξ · θηλυκῶς Ἀττικοί.

phi 4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασκώλιον · δερμάτινον βαλάντιον οἷον θυλάκιον. καὶ φάσκωλος· ἡ ἱματιοφορίς. φατρία · ἣν Ἴωνες πατριάν.

phi 6 φαυλία · εἶδος ἐλαίας γινομένη 〈σ〉 ἐκ κοτίνου κοπέντος καὶ μεταφυτευθέντος. φαῦλον · τοῦτο τάσσεται ἐπὶ τεσσάρων σημασιῶν· ἐπὶ μὲν κακοηθείας Δημοσθένης· (XIX 30)· ‘οὐ γὰρ εἰ φαύλοις ὑμεῖς προστάταις χρῆσθε‘.

phi 7 ἐπὶ δὲ ἀγαθοῦ Εὐριπίδης 〈ἐν Λικυμνίῳ ἐπὶ τοῦ〉 Ἡρακλέους (fr. 473, 1 N. 2 )· ‘φαῦλον, ἄκομψον, τὰ μέγιστ’ ἀγαθόν‘. ἐπὶ δὲ μεγέθους, ὡς τὸ φαῦλον στόμα, καὶ ἐπὶ τοῦ μικροῦ εὐθέως ἐν ἀρχῇ τοῦ Κατ’ Ἀριστοκράτους, (Dem. XXIII 1), ὅθεν καὶ [τὴν] φαύλην ἐλαίαν τὴν μικρόκαρπον. Πλάτωνι δὲ καὶ τοῖς ἄλλοις Ἀττικοῖς σημαίνει τὸ ἁπλοῦν καὶ ῥᾴδιον, ἡμεῖς δὲ ἐπὶ τοῦ κακοῦ καὶ μοχθηροῦ τάσσομεν. φαύλως · τὸ ἁπλῶς καὶ ἡσυχῇ.

phi 8 Ἀριστοφάνης (fr. 653 K., deest ap. Mein.)· ‘φαύλως φέρει νῦν τὸ κακόν‘. φερνήν · τὴν προῖκα.

phi 9 καὶ Αἰσχίνης ὁ ῥήτωρ (II 31) καὶ Μένανδρος (fr. 926 Kö.). φέρνια · ἰχθύων σπυρίδες.

phi 10 Μένανδρος (fr. 696 Kö.). ‘ὁ προσιών γέρων ἁλιεύς, παρ’ οὗ τὸ φέρνιον τρίτην ταύτην ἐπριάμεθ’ ἡμέραν‘. φεῦ · σχετλιαστικὸν ἐπίρρημα ἢ ὀδυνηρὸν οἴμωγμα.

phi 12 φθάνοντος ἔργον γίνεται . φίλιππος · τῆς μέσης δασυνομένης τὸ προσηγορικόν.

phi 13 Σοφοκλῆς Τηρεῖ (fr. 523 N. 2 = 582 P.)· ‘Ἥλιε, φιλίπποις Θρῃξὶ πρέσβιστον σέλασ‘. Φίλιππος δὲ ψιλῶς ὁ Μακεδών. καὶ ὠκύαλος δασέως ἡ ναῦς, ψιλῶς δὲ ὁ ἀνήρ· ‘ὦρτο μὲν Ἀκρόνεώς τε καὶ Ὠκύαλοσ‘ (θ 111). φιλύρα · φυτὸν ἔχον φλοιὸν βύβλου, παπύρῳ ὅμοιον, ἐξ οὗ τοὺς στεφάνους πλέκουσιν.

phi 15 φοβερός · ὁ φοβούμενος παρὰ Θουκυδίδῃ (II 3, 4 cf. Ael. gl. πιθανούς) καὶ Φερεκράτει (II 354 M. = fr. 245 K.). Φοινικίοις γράμμασι (Soph.

phi 16 fr. 471 N. 2 = 514 P.)· ἐπεὶ δοκεῖ Κάδμος ἀπὸ Φοινίκης αὐτὰ κεκομικέναι. φορμός · προκάλυμμα ἢ πλεκτὸν ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθεσαν ἰσχάδες κομίζεσθαι.

phi 18 φράτηρ · Ἀττικοί, Ἴωνες δὲ διὰ τοῦ ω . φυσίζωος · ἡ τὰ πρὸς τὸ ζῆν φύουσα.

phi 20 φύσκη · τὸ παχὺ ἔντερον. χαλκιδίζειν (IV 648 M.

chi 1 = fr. ad. 1192 K.)· τὸ ῥωτακίζειν, ἐπεὶ αὐτοί τε καὶ Ἐρετριεῖς δοκοῦσι τῷ ρ κατακορεστέρως χρῆσθαι [καὶ] ἀντὶ τοῦ ς τιθέντες. χαλκοκρᾶς · ὁ χαλκῷ κεκραμένος.

chi 3 χαμᾶζε ἀεὶ 〈προ〉 περισπᾶται, τὸ δὲ χαμᾶθεν ὡς ἐπὶ πλεῖστον. χαραδριός (Plat.

chi 4 Gorg. 494b)· ὄρνις τις, εἰς ὃν ἀποβλέψαντες, ὡς λόγος, οἱ ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται. ὅθεν καὶ ἐγκρύπτουσιν αὐτὸν οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες. ‘καί μιν καλύπτει· μῶν χαραδριὸν περνᾷς;‘ ὥς φησιν Ἱππῶναξ (fr. 48 D 2 ). χάραξ · θηλυκῶς τὸ τῆς ἀμπέλου ὑπόστημα, ἀρσενικῶς τὸ χαράκωμα τοῦ στρατοπέδου.

chi 6* χαροπός · περιχαρής, εὐόφθαλμος. χάρων · ὁ λέων ἀπὸ τῆς χαροπότητος.

chi 8 χειλός · πόα, χόρτος. χειμάμυνα · παρ’ Αἰσχύλῳ (fr.

chi 9 449 N 2 ; cf. Soph. fr. 1008 N 2 = 1112 P.), ἡ παρ’ Ὁμήρῳ (ξ 529) ἀλεξάνεμος. χείμαρος (Hes.

chi 10 opp. 626)· τρῆμα νεώς, ὅθεν ἡ ἀντλία ἐκρεῖ. χιτών 〈ιον 〉 · ὁ ζωστὸς 〈χιτὼν〉 καὶ γυναικεῖος.

chi 11 ὁ δὲ ἀνδρεῖος χιτωνίσκος, ὅ τινες ἐπενδύτην, τὸ δὲ βραχὺ χιτωνισκάριον. χιτώνιον δὲ καὶ χιτωνάριον λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές. Μένανδρος (fr. 653 Kö.)· ‘λελουμένη γὰρ ἠτέρα καὶ διαφανές χιτωνάριον ἔχουσα‘. Ἀριστοφάνης (II 1194 M. = fr. 632 K.)· ‘ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον‘. χοινίκαι · παχεῖαι πέδαι, ὧν εὐθεία ἡ χοινίκη, παρονομασθεῖσα ἐκ τῆς χοίνικος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

chi 13 χορὸν λαμβάνειν (cf. Ar. ran. 94)· ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν. παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες, ἀλλ' οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες [ἄξιοι]. χορτάζεσθαι κυρίως ἐπὶ τῶν ὑποζυγίων λέγεται, τίθεται δὲ καὶ ἐπ' ἀνθρώπων.

chi 15 χορταῖος · ὁ δασὺς καὶ μαλλωτὸς χιτών. χοῦς · ἀρσενικῶς, τὸ ἐπιβαλλόμενον τῇ ὀροφῇ λεπτὸν χῶμα.

chi 16 Θουκυδίδης (IV 90, 2 cf. II 76, 2). χρέως · Ἀττικοί, χρέος Ἴωνες.

chi 17 〈οὕτ〉 ως Πλάτων καὶ Δημοσθένης (passim). λέγουσι δὲ καὶ χρέος. καὶ τοῦτο μὲν διαφέρουσαν ἔχει γενικὴν 'τοῦ χρέουσ' [γάρ], τὸ δὲ χρέως τὴν αὐτὴν 〈'τοῦ χρέωσ'〉. τὰ σύνθετα δὲ μᾶλλον διὰ τοῦ ω , ὑπέρχρεως, ἀξιόχρεως. χρήστης · καὶ ὁ δανείσας καὶ ὁ ὀφείλων.

chi 19 χρυσολαβὲς ξιφίδιον (Men. fr. 20 Kö.)· τὸ χρυσῆν ἔχον τὴν λαβήν. χύρρε · ἐπίφθεγμα πρὸς τοὺς ὗς.

chi 21 χυρρεῖον · δεσμός, ᾧ δεσμεῖται τὰ χοιρίδια. χύρριον ξύλον · ᾧ προσδεσμεύονται οἱ ὗς.

chi 23 χωλός · καὶ ἐπὶ ποδὸς καὶ ἐπὶ χειρός. Εὔπολις (II 567 M. = fr. 343 K.; cf. 247 K.)· 'ὅτι χωλός ἐστι τὴν ἑτέραν χεῖρ' εὖ σφόδρα'. καὶ κυλλοὺς οἱ Ἀττικοὶ ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. ψατάλλειν καὶ ψαθάλλειν · τὸ ψηλαφᾶν καὶ μαλάττειν αἰσχρῶς.

psi 2 ψιλῆται · οἱ ἐν μάχῃ γυμνῆτες, καὶ ψιλίζεσθαι τὸ ψιλοῦσθαι. ψῖσαι · ψωμίσαι.

psi 4 ψό · ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος. 〈Σοφοκλῆς Ποιμέσι〉 (fr. 478 N 2 = 521 P.)〉. ἔστι δὲ ἀποκομματικὸν λεξείδιον 〈τοῦ ψόθου〉. ψόθον γὰρ καλοῦσιν Ἀριστοφάνης (II 1223 M. = fr. 892 K.)· 'πλέῳ γράσου 〈τε〉 καὶ ψόθου', οἷον καὶ 'ῥύπου τε καὶ ψόθου 〈πλέωσ〉' Αἰσχύλος Θεωροῖς (cf. fr. 82 N 2 ). ψύλλα καὶ ψύλλαι · θηλυκῶς. [5]

psi 5 παρὰ δὲ Ἡροδότῳ (IV 173) Ψύλλοι, ἔθνος Λιβύης, καὶ τὸ ἐν τῇ Μεσσηνίᾳ Μενάνδρου (fr. 272 Kö.) κύριον ὄνομα. τὸ δὲ ζῷον τὸ μικρὸν ἀρσενικῶς Ἐπίχαρμος εἶπε (fr. 199 Kaib.) καὶ ἕτεροι. ᾧα · μηλωτή, διφθέρα.

omega 1 οἷς γὰρ τὸ πρόβατον. ὤα · τὸ λῶμα τοῦ ἐνδύματος περὶ τὴν πέζαν ἢ τὸ περιστόμιον.

omega 3 ὠγύγιον · ἀρχαῖον, ἀπό τινος Ὠγύγου, βασιλέως ἀρχαίου Θηβῶν. ὤζειν · θαυμάζειν ὡς 'ὤ' λέγειν, καθὰ καὶ οἰμώζειν τὸ 'οἴμοι' λέγειν καὶ φεύζειν τὸ 'φεῦ' λέγειν.

omega 5 ὦ μέλε παρὰ τοῖς νεωτέροις ὑπὸ γυναικῶν λέγεται μόνον, ὡς τὸ 'ὦ τάλαν'. παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν, ὡς ἐν Ἱππεῦσιν Ἀριστοφάνους (671) καὶ ἐν Θεαιτήτῳ Πλάτωνος (178 e). Μένανδρος Συνερώσῃ (fr. 392 Kö.)· 'ἄφες τὸν ἄνθρωπον. τί κόπτεις, ὦ μέλε;' σημαίνει δὲ 'ὦ δείλαιε, ὦ πονηρέ', ἔνιοι δὲ 'ὦ ἐπιμελείας ἄξιε' καὶ οἷον μεμελημένε. ὤμιλλα · παιδιά τις, ἐν ᾗ ὁ εἰς τὸν κύκλον βαλὼν κάρυον ὥστε ἐμμεῖναι νικᾷ. [5]

omega 6 Εὔπολις Χρυσῷ γένει (II 539 M. = fr. 288 K.)· 'κᾄπειτ' εἴσειμ' ἐνθάδε μείνας εἰς ὤμιλλαν, κἂν μὴ μεθιῇ'. ὠμογέρων · ὁ παρ' ἡλικίαν γεγηρακὼς διὰ λύπην ἢ συμφοράν.

omega 7 καὶ πρεσβύτης, οὗ ἡ κεφαλὴ οὐκ ἐπολιώθη. ὠμοθέτησαν (e.

omega 8 g. A 461)· τὸ ἀφ' ἑκάστου μέλους τοῦ ἱερείου ἀπετέμοντο καὶ ἀπήρξαντο ἀπ' ὤμου καὶ ἐνέβαλον εἰς τὰ μηρία κατὰ τὴν θυσίαν. ὤνευον · παρὰ Θουκυδίδῃ (VII 25, 6) τὸ ἐκίνουν καὶ περιῆγον.

omega 9 ὄνος γὰρ τοῦ μύλου τὸ κινούμενον, καὶ αἱ τοιαῦται μηχαναὶ ὄνοι. ὠόπ (Ar.

omega 10 ran. 180; 208)· ναυτικὸν 〈ἐπίφθεγμα〉. ὦ οὗτος, ὦ τάλαν καὶ ὦ μέλε · ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ μόνων λέγεται γυναικῶν, παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν.

omega 11 πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ 'ὦ τάν', ὡς παρὰ Νικοφῶντι (II 855 M. = fr. 29 K.). οἱ γὰρ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσιν, τὴν δὲ δευτέραν βραχύνουσιν. καὶ βέλτιον·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδύνατον γὰρ εὑρεθῆναι μίαν λέξιν δύο ἔχουσαν περισπωμένας. Δίδυμος δὲ (p. 403, fr. 10 Schm.) τὸ πλῆρες εἶναί φησιν ‘ὦ ἐτάν‘ ἀγνοῶν, ὡς ἄρα τοῦ ἔτης ἡ κλητική ἐστιν ἔτα καὶ Δωρικῶς ἔταν. ὠόψ · ἐπίφθεγμα τῶν ἀφιέντων τινὰς ἅμα τρέχειν ἤ τι τοιοῦτον ποιεῖν. [5]

omega 13 ὠτοκάταξις (Ar. Babylon. II 983 M. = fr. 98 K.)· ὠτοθλαδίας, τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ. ὦτος · ὄρνεον, ὃ περὶ τὰ ὦτα ἔχει πτερύγια.

omega 14 τοῦτο ἐπαινούμενον καὶ ἀντορχούμενον ὥσπερ ὁ νυκτικόραξ ἁλίσκεται. διὸ τοὺς χαύνους καὶ κενοδόξους ὤτους καλοῦσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org